










600093264U









[redacted]

IULIANI IMPERATORIS

QUAE SUPERSUNT

PRAETER RELIQUIAS APUD CYRILLUM

OMNIA.

RECENSUIT

FRIDERICUS CAROLUS HERTLEIN.

VOL. I.





LIPSIAE
IN AEDIBUS B. G. TEUBNERI.
MDCCCLXXV.

33, 34, 35, 37 (a verbis *τῶν πώποτε γεγονότων* p. 413 C, initium deest), 50 et 63. Multa iam legi non possunt in codice, quum scriptura saepe maculis obscurata, charta non raro detrita, nonnunquam etiam perrosa aut cum margine abscissa sit. Haec omnia singulis locis totidem significavimus punctis, quot periisse videntur literae. Contuli autem hunc librum post Spanhemium et Cobetum ipse quoque. Cobetus magnam partem collationis suae edidit in Mnemosynes vol. VIII, IX, X. Dübnerus quoque Vossianum contulit atque eam partem collationis suae, quae ad Epistolas pertinet, cum Herchero communicavit, qui usus est ea in Epistolographis Graecis. De Dübneri autem collatione Hercherus in praef. ad Epistolographos p. VIII haec scribit: „Dübnerus, ut in lucem revocaret literarum lineamenta, quae vetustate in Vossiano evanuissent, suco infectore quodam pretiosissimas chartas illeverat ad tempus efficaci, sed in posterum funesto. Itaque ipsi quidem, ut aiebat, eventus ex sententia processit; sed paullatim factum est, ut charta liquoribus istis perfusa nigresceret; iamque eo res deducta est, ut non pauca, quae ille artificio suo aut omnino aut ex parte recuperaverat, nullo prorsus modo dispici possint. Horum igitur locorum diiudicatio in solis Dübneri repertis collocata est.“ Ubi igitur Dübnerus plenius aut rectius quid legisse videtur, quam nunc fieri potest, id adnotabimus.

2) Codex *Marcianus* 366, in folio minori, chartaceus, foliorum 263, versuum duodequadragenorum, saeculi circiter XV. Insunt in eo 1) Herodotus, foliis 1—211^{a}, 2) Herodoti quae fertur vita Homeri, foliis 211^{b}—214^{b}, 3) *Ἰουλιανοῦ* (manus secunda supra scripsit *Ἰουλιανοῦ τοῦ καταράτου λόγοι*) *αὐτοκράτορος συμπόσιον ἢ κρόνια*, foliis 215^{a}—222^{b}, 4) *τοῦ αὐτοῦ περὶ τῶν τοῦ αὐτοκράτορος πράξεων, ἢ περὶ βασιλείας*, foliis 223^{a}—238^{a}, 5) *τοῦ αὐτοῦ ἐγκώμιον πρὸς τὸν αὐτοκράτορα κωνστάντιον*, foliis 238^{b}—251^{a}, 6) *τοῦ αὐτοῦ ἐγκώμιον πρὸς τὴν βασίλισσαν εὐσεβίαν*, foliis '^{b}—258^{b}, ubi explicit in verbis *οὐδὲ ἱμάτιον μέλαν*

τῶν πολιτῶν τις περιβαλλόμενος p. 128 D[1]), tum sequitur lacuna usque ad folium 259^{b}, 7) Oratio Iuliani VIII sine inscriptione, foliis 259^{b}—262^{a}, 8) Edictum Iuliani (vid. Hermae vol. VIII. p. 167—172) ipsum quoque sine inscriptione, folio 262^{b}, 9) Herodoti libri VII capita 1 et 2, folio 263^{a}, 10) περὶ ἡλιακῆς ἐκλείψεως τῆς ἐν τῷ βασιλικῷ τριγόνῳ τοῦ σοφοτάτου λέοντος (editum in Hermae vol. VIII. p. 173—176), folio 263^{ab}. Contulit huius libri folia 215—258 Cobetus et partem collationis suae in Mnemosynes vol. IX edidit, ego Iulianea omnia contuli.

3) Codex *Marcianus* 251, forma quadrata, chartaceus, foliorum 119, tricenorum ternorum fere versuum, saeculi circiter XV. Continentur eo 1) Ἀρριανοῦ ἐπικτήτου διατριβαί, foliis 1—91^{a}, 2) Ἰουλιανοῦ καίσαρος εἰς τὸν βασιλέα ἥλιον πρὸς σαλουστῖνον (sic), foliis 91^{b}—99^{b}, 3) Ἰουλιανοῦ αὐτοκράτορος καίσαρος[2]) ἀντιοχικὸς ἢ μισοπώγων, foliis 100^{a}—109^{b}, 4) θεμιστίου φιλοσόφου βασανιστὴς ἢ φιλόσοφος, foliis 109^{b}—116^{b}, 5) τοῦ αὐτοῦ εἰς τὸν αὐτοῦ πατέρα, foliis 117^{a}—119^{b}. Post Cobetum, qui collationis suae partem in Mnemosynes vol. X edidit, ego quoque hunc librum contuli.

4) Codex olim *Augustanus*, nunc *Monacensis* 564, forma octuplicata, chartaceus, saeculi aut XII aut XIII iudice Heusingero, qui eum contulit. Continet praeter multa alia Caesares Iuliani foliis 346—355. Desinit autem vetus codex p. 335 A in verbo μακρότερα. Sequitur repetito extremo versu veteris codicis (ἀποστερεῖν — μακρότερα) recentius folium 355. Ipse hunc quoque codicem contuli. Ubi autem mea collatio ab Heusingeriana discrepat, meae velim fidem habeas.

5) Codex olim *Augustanus*, nunc *Monacensis* 461, saeculi XIV vel XV. Insunt in eo 1) Ἰουλιανοῦ καί-

1) Sic etiam editio Petavii Flexiensis.

2) Sic Monacenses quoque 339 et 461. Iunguntur autem αὐτοκράτωρ et καῖσαρ non solum in inscriptione Epistolae X, sed etiam non raro in titulis. Exempla vide apud G. Dittenbergerum in Hermae vol. VII. p. 213—229.

σαρος εἰς τὸν βασιλέα ἥλιον πρὸς σαλουστῖνον, 2) Ἰουλιανοῦ αὐτοκράτορος καίσαρος ἀντιοχικὸς ἢ μισοπώγων. Explicit in verbis ἀντάξιος ἑτέρων p. 353 D [1]). Contulit I. I. Reiskius et hunc et Monacenses qui sequuntur 490 et 113. Collationem eius in bibliotheca Leidensi servatam (secundum catalogum Gelii Wyttenb. mss. n. 40) humanissime mecum communicavit *W. N Du Rieu.*

6) Codex olim *Augustanus*, nunc *Monacensis* 490, forma quadrata, chartaceus, saeculi XV, foliorum 500. Continentur eo 1) Epistolae Iuliani fol. 121 et fol. 254 hoc ordine: Epist. 77, 3, 14, 65, 66, 20 et 67 [2]). 2) Hymnus in solem fol. 381. Hoc libro in Epistolis Hercherus quoque usus est.

7) Codex *Monacensis* 113, forma maxima, chartaceus, saeculi XVI. Continentur eo 1) Ἰουλιανοῦ καίσαρος εἰς τὸν βασιλέα ἥλιον πρὸς σαλουστῖνον fol. 234, 2) τοῦ αὐτοῦ ἀντιοχικὸς ἢ μισοπώγων fol. 247.

8) Codex *Monacensis* 101, forma maxima, chartaceus (vel bombycinus secundum Harlesium), saeculi XVI. Insunt in eo post multa alia, quae Harlesius enumeravit, Ἰουλιανοῦ αὐτοκράτορος συμπόσιον ἢ κρόνια fol. 366 et Oratio eiusdem II sine inscriptione fol. 380, quae explicit in verbis δῆλον δὲ ἐνθένδε p. 82 C [3]). Contulit librum, quem *Bavaricum* dixit, Harlesius.

Libri qui sequuntur n. 9—14 in Caesaribus cum editione Harlesii, in Misopogone cum editione Spanhemii collati sunt a L. Haeussero, in Epistolis ab Heylero.

9) Codex *Parisinus* 1732, Caesares et Orationes I. II. III.

1) Sic etiam Monacenses 305 et 339.

2) Quas vero praeterea in eodem codice ad margines adscriptas atque ex Hardtii catalogo desumtas Heylerus inter Iulianeas numeris 78, 79, 80, 81, 82 insignitas recepit, non esse Iuliani, sed Isidori Pelusiotae Hercherus docuit in Hermae vol. IV. p. 427. Atque iam Reiskius, qui easdem transscripsit, haec de iis dicit: „Sintne autem hae Iuliani an Synesii (cuius nonnullae praecesserant) an Isidori, cuius quaedam sequebantur, non constat. quaeratur“.

3) Eadem est conditio librorum Parisini 2832 et Vaticani 1264 atque editionis Cantoclari.

10) Codex *Parisinus* 2832, forma octuplicata, chartaceus, saeculi XVI, Caesares, Epistolas viginti, Orationem II mutilam (vid. p. VI not. 3) continens. Collatus est in Caesaribus usque ad p. 331 C. Accuratius hunc librum descripsit Heylerus in praef. ad Epist. p. XXII.

11) Codex *Parisinus* 2954, forma octuplicata, membranaceus, saeculo XV scriptus, quem accuratius descripsit Heylerus in praef. ad Epist. p. XX. Apographum est Vossiani eo tempore factum, quo iam multa in eo legi non poterant, sed folia, quae nunc desunt, nondum perierant. Habet igitur quae in Vossiano exciderunt. Quae autem librarius Parisini apographi legere non poterat, in quibus sunt, quae etiam nunc dispicias, si oculos intendas, lacuna relicta indicavit.

12) Codex *Parisinus* 3020, Caesares et Orationes I. II. III.

13) Codex *Parisinus* 3029, Misopogon cum multis variis lectionibus ad marginem adscriptis.

14) Codex *Parisinus* 3038, Misopogon.

Praeterea Heylerus in Epistolis usus est *Parisinis* 963, 967, 1031, 1310, 1603, 2131, 2755, 3044, *Vaticano* 1353 et *Heidelbergensi* 356, Hercherus *Laurentianis* LVIII, 16 et XXXII, 37, *Palatinis* 134 et 146, *Marcianis* 79 et 54 et *Vaticano* 434.

E Petavii codicibus dignus inprimis est, qui commemoretur, *Baroccianus*, cuius ope multa in editione sua mendose scripta correxit Petavius in notis ad Epistolas.

His igitur subsidiis instructus pro vitiosa scriptura plurimis locis e libris manu scriptis emendatam reposui. Ubi vero codices opem non ferebant, ad conjecturam vel aliorum vel meam confugi, atque emendationes certas in verborum contextum recepi, verisimiles aut aliquo modo memorabiles in adnotatione commemoravi. Reiskii animadversiones excerpsi ex autographo eius in bibliotheca Leidensi inter Wyttenbachiana asservato.

Vossiani scripturam integram apposui praeter levissima quaedam, ut *μὴ δὲ* pro *μηδὲ* et *οὐχ'* pro *οὐχ*, reliquorum selectam.

INDEX SIGLORUM.

A . . . . . . Laurentianus LVIII, 16 Hercheri.
Aug. . . . . . Monacensis 564.
Bar. . . . . . Baroccianus Petavii.
Bav. . . . . . Monacensis 101 Harlesii.
Cob. . . . . . Cobetus.
E . . . . . . Monacensis 461.
F . . . . . . Monacensis 113.
G . . . . . . Monacensis 490.
H . . . . . . Hertlein.
Hrch. . . . . Hercherus.
L . . . . . . Laurentianus XXXII, 37 Hercheri.
M . . . . . . Marcianus 366.
Mb . . . . . Marcianus 251.
Pa . . . . . Parisinus 1732.
Pb . . . . . Parisinus 2832.
Pc . . . . . Parisinus 2964.
Pd . . . . . Parisinus 3020.
Pe . . . . . Parisinus 3029.
Pf . . . . . Parisinus 3038.
Pg . . . . . margo Parisini 3029.
Ph . . . . . Parisinus 963.
Pi . . . . . Parisinus 2131.
Pk . . . . . Parisinus 2755.
Pl . . . . . Parisinus 3044.
Pet. . . . . . Petavius.
Rsk. . . . . Reiskius.
Schaef. . . . Schaeferus.
Wytt. . . . . Wyttenbachius.
V . . . . . . Vossianus 77.
cant. . . . . cantoclariana.
fl. . . . . . . Petavii flexiensis.
marc. . . . . marciliana.
mart. . . . . martiniana.
pet. . . . . . Petavii parisina.
spanh. . . . . spanhemiana.
v . . . . . . vulgata.

ΙΟΥΛΙΑΝΟΥ ΚΑΙΣΑΡΟΣ ΕΓΚΩΜΙΟΝ ΕΙΣ ΤΟΝ ΑΥΤΟΚΡΑΤΟΡΑ ΚΩΝΣΤΑΝΤΙΟΝ.

Ed. Spanh. I. p. 1.

Πάλαι με προθυμούμενον, ὦ μέγιστε βασιλεῦ, τὴν σὴν ἀρετὴν καὶ πράξεις ὑμνῆσαι καὶ τοὺς πολέμους ἀπαριθμήσασθαι, καὶ τὰς τυραννίδας ὅπως ἀνῄρηκας, τῆς μὲν λόγῳ καὶ πειθοῖ τοὺς δορυφόρους ἀποστήσας, τῆς δὲ τοῖς ὅπλοις κρατήσας, τὸ μέγεθος εἶργε τῶν πράξεων, οὐ τὸ βραχὺ λειφθῆναι τῷ λόγῳ τῶν ἔργων δεινὸν κρίνοντα, ἀλλὰ τὸ παντελῶς τῆς ὑποθέσεως διαμαρτεῖν δόξαι. τοῖς μὲν γὰρ περὶ τοὺς πολιτικοὺς ἀγῶνας καὶ τὴν ποίησιν διατρίβουσιν οὐδὲν θαυμαστὸν εἰ ῥᾳδίως ἔξεστιν ἐγχειρεῖν τοῖς ἐπαίνοις τῶν σοι πραχθέντων· περίεστι γὰρ αὐτοῖς ἐκ 2 *τῆς τοῦ λέγειν μελέτης καὶ τῆς πρὸς τὰς ἐπιδείξεις συνηθείας τὸ θαρσεῖν ἐν δίκῃ. ὅσοι δὲ τοῦ μὲν τοιούτου μέρους κατωλιγώρησαν, ὥρμησαν δ' ἐφ' ἕτερον παιδείας εἶδος καὶ λόγων ξυγγραφὴν οὐ δήμῳ κεχαρισμένην οὐδ' ἐς θέατρα παντοδαπὰ τολμῶσαν ἀποδύεσθαι, πρὸς τὰς ἐπιδείξεις ἔχοιεν ἂν εἰκότως εὐλαβεστέρως. ἔστι γὰρ οὐκ ἄδηλον τοῦθ' ὅτι τοῖς*

1 *Ἰουλιανοῦ καίσαρος* add. V | *εἰς* V] *πρὸς* 8 *εἶργε* VM] *εἶρξε* | *τὸ*] *τῷ* V | *βραχὺ* M] *βραχεῖ* 9 *τὸ*] *τῷ* V 10 *περὶ* Schaeferus dubitanter conjecit, non scripsit] *πρὸς* 12 *ἔξεστιν ἐγχειρεῖν* V] *ἐγχειρεῖν ἔξεστι* 13 *σοὶ* VM. Sic etiam M 3 A et 30 B, V 40 C 16 *δὲ ἐφ'* VM 18 *οὐδὲ* VM 20 *εὐλαβεστέρως* V] *εὐλαβέστερον*

B μὲν ποιηταῖς Μοῦσαι καὶ τὸ δοκεῖν ἐκεῖθεν ἐπιπνεο-
μένους τὴν ποίησιν γράφειν ἄφθονον παρέχει τὴν
ἐξουσίαν τοῦ πλάσματος· τοῖς ῥήτορσι δὲ ἡ τέχνη
τὴν ἴσην παρέσχεν ἄδειαν, τὸ μὲν πλάττειν ἀφελο-
μένη, τὸ δὲ κολακεύειν οὐδαμῶς ἀπαγορεύσασα, οὐδὲ
αἰσχύνην ὁμολογουμένην τῷ λέγοντι τὸ ψευδῶς ἐπαι-
νεῖν τοὺς οὐκ ἀξίους ἐπαίνου κρίνασα. ἀλλ' οἱ μὲν
ἐπειδὰν καινόν τινα μῦθον καὶ μηδέπω τοῖς πρόσθεν
C ἐπινοηθέντα φέρωσιν αὐτοὶ ξυνθέντες, τῷ ξένῳ τοὺς
ἀκούοντας ψυχαγωγήσαντες πλέον θαυμάζονται· οἱ
δὲ τῆς τέχνης ἀπολαῦσαί φασιν ἐν τῷ δύνασθαι περὶ
τῶν μικρῶν μειζόνως διελθεῖν, καὶ τὸ μέγεθος ἀφε-
λεῖν τῶν ἔργων τῷ λόγῳ, καὶ ὅλως ἀντιτάττειν τῇ
τῶν πραγμάτων φύσει δύνασθαι τὴν τῶν λόγων. ἐγὼ
δὲ εἰ μὲν ἑώρων ταύτης ἐμαυτὸν ἐπὶ τοῦ παρόντος
ἐν χρείᾳ τῆς τέχνης, ἦγον ἂν τὴν προσήκουσαν ἡσυ-
D χίαν τοῖς ἀμελετήτως ἔχουσι τῶν τοιούτων λόγων,
παραχωρῶν τῶν σῶν ἐγκωμίων ἐκείνοις, ὧν μικρῷ
πρόσθεν ἐμνήσθην. ἐπεὶ δὲ ἅπαν τοὐναντίον ὁ παρὼν
ἀπαιτεῖ λόγος τῶν πραγμάτων ἁπλῆν διήγησιν οὐδ-
ενὸς ἐπεισάκτου κόσμου δεομένην, ἔδοξε κἀμοὶ
προσήκειν, (τοῦ) ἀξίως διηγήσασθαι τῶν ἔργων ἀνε-
φίκτου καὶ τότε τοῖς προλαβοῦσιν ἤδη φανέντος.
ἅπαντες γὰρ σχεδὸν οἱ περὶ παιδείαν διατρίβοντές
3 (σε) ἐν μέτρῳ καὶ καταλογάδην ὑμνοῦσιν, οἱ μὲν
ἅπαντα περιλαβεῖν ἐν βραχεῖ τολμῶντες, οἱ δὲ μέρεσιν

4 παρέσχεν VM] παρέχει 5 τὸ δὲ κολακεύειν V] τὸ κολακεύειν δὲ | ἀπαγορεύσασα V] ἀπαγορεύουσα 6 ψεῦδος V 9 ξυνθέντες VM] συνθέντες 14 δύνασθαι τὴν] τὴν δύναμιν Wyttenbachius, Reiskius τὴν τῶν λόγων τέχνην, quod deleto verbo δύνασθαι probandum videtur 19 τοὐναντίον M] τοὐ-νάντιον 22 τοῦ add. Rsk. 23 τότε προλαβοῦσιν VM. Ego τότε deleam 25 σε add. Schaeferus | καὶ om. V 26 ἐν ante μέρεσιν vulgo additum delevit Rsk.

αὑτοὺς ἐπιδόντες τῶν πράξεων ἀρκεῖν ᾠήθησαν, εἰ τούτων τῆς ἀξίας μὴ διαμάρτοιεν. ἄξιον δὲ ἄγασθαι τὴν προθυμίαν τῶν ἀνδρῶν ἁπάντων, ὅσοι τῶν σῶν ἐπαίνων ἥψαντο. οἱ μὲν γάρ, ὅπως μηδὲν ὑπὸ τοῦ χρόνου τῶν σοι πραχθέντων ἀμαυρωθείη, τὸν μέγιστον ὑποδῦναι πόνον ἐτόλμησαν, οἱ δέ, ὅτι τοῦ παντὸς διαμαρτήσειν ἤλπιζον, τὴν αὑτῶν γνώμην ἐν μέρει προύφηναν, ἄμεινον τοῦ τῆς σιωπῆς ἀκινδύνου γέρως κρίναντες κατὰ δύναμίν σοι τῶν οἰκείων πόνων ἀπάρξασθαι. εἰ μὲν οὖν καὶ αὐτὸς εἷς ὢν ἐτύγχανον τῶν τοὺς ἐπιδεικτικοὺς ἀγαπώντων λόγους, ἐχρῆν ἐντεῦθεν ἄρχεσθαι τῆς ὑποθέσεως, τὴν ἴσην εὔνοιαν ἀπαιτήσαντα τῆς ὑπαρχούσης ἤδη σοι παρ' ἡμῶν καὶ δεηθέντα τῶν λόγων ἀκροατὴν εὐμενῆ γενέσθαι, οὐχὶ δὲ ἀκριβῆ καὶ ἀπαραίτητον κριτὴν καταστῆναι. ἐπεὶ δὲ ἐν ἄλλοις μαθήμασι τραφέντες καὶ παιδευθέντες, καθάπερ ἐπιτηδεύμασι καὶ νόμοις, ἀλλοτρίων κατατολμᾶν ἔργων δοκοῦμεν οὐκ ὀρθῶς, μικρά μοι δοκεῖ χρῆναι καὶ περὶ τούτων δηλῶσαι, οἰκειοτέραν ἀρχὴν προθέντα τοῦ λόγου.

Νόμος ἐστὶ παλαιὸς παρὰ τοῦ πρώτου φιλοσοφίαν ἀνθρώποις φήναντος οὑτωσὶ κείμενος· ἅπαντας πρὸς τὴν ἀρετὴν καὶ πρὸς τὸ καλὸν βλέποντας ἐπιτηδεύειν ἐν λόγοις, ἐν ἔργοις, ἐν ξυνουσίαις, ἐν πᾶσιν ἁπλῶς τοῖς κατὰ τὸν βίον μικροῖς καὶ μείζοσι τοῦ καλοῦ πάντως ἐφίεσθαι. πάντων δὲ ὅτι κάλλιστον ἀρετή, τίς ἂν ἡμῖν τῶν νοῦν ἐχόντων ἀμφισβητήσειε; ταύτης τοίνυν ἀντέχεσθαι διακελεύεται τοὺς μὴ μά-

1 αὑτοὺς VM et saepe alibi, quod non omnibus locis annotavi 7 αὑτῶν Schaef.] αὐτῶν 20 προσθέντα V 22 οὑτοσὶ M. cf. Epist. 42 p. 428 D 24 ἐν πᾶσιν H] ἐπὶ πᾶσιν 25 μικροῖς] ἄκροις VM. Malim καὶ μικροῖς 27 ἀμφισβητήσειε V] ἀμφισβητήσειεν

την τουτὶ περιοίσοντας τοὔνομα, προσῆκον οὐδὲν αὐτοῖς σφετερισαμένους. ταῦτα δὴ διαγορεύων ὁ νόμος οὐδεμίαν ἰδέαν ἐπιτάττει λόγων, οὐδ' ὥσπερ ἐκ 4 τινος τραγικῆς μηχανῆς, φησί, χρῆναι προαγορεύει τοῖς ἐντυγχάνουσι σπεύδειν μὲν πρὸς τὴν ἀρετήν, ἀποφεύγειν δὲ τὴν πονηρίαν, ἀλλὰ πολλαῖς ὁδοῖς ἐπὶ τοῦτο δίδωσι χρῆσθαι τῷ βουληθέντι μιμεῖσθαι τὴν ἐκείνου φύσιν. καὶ γὰρ παραίνεσιν ἀγαθὴν καὶ λόγων προτρεπτικῶν χρῆσιν καὶ τὸ μετ' εὐνοίας ἐπιπλήττειν τοῖς ἁμαρτήμασιν ἐπαινεῖν τε αὖ τὰ καλῶς πραχθέντα καὶ ψέγειν, ὅταν ᾖ καιρός, τὰ μὴ τοιαῦτα B τῶν ἔργων. ἐφίησι δὲ (καὶ) ταῖς ἄλλαις ἰδέαις, εἴ τις ἐθέλοι, πρὸς τὸ βέλτιστον τῶν λόγων χρῆσθαι, ἐπὶ παντὶ δὲ οἶμαι καὶ λόγῳ καὶ πράξει μεμνῆσθαι προστάττων, ὅπῃ τούτων ὑφέξουσιν εὐθύνας, ὧν ἂν τύχωσιν εἰπόντες, λέγειν δὲ οὐδὲν ὅ,τι μὴ πρὸς ἀρετὴν καὶ φιλοσοφίαν ἀνοίσουσι. τὰ μὲν οὖν ἐκ τοῦ νόμου ταῦτα καὶ τοιαῦτα ἕτερα.

Ἡμεῖς δὲ ἄρα τί ποτε δράσομεν, εἰργόμενοι μὲν τῷ δοκεῖν ποιεῖσθαι πρὸς χάριν τὴν εὐφημίαν, τοῦ C γένους δὲ ἤδη τῶν ἐπαίνων διὰ τοὺς οὐκ ὀρθῶς μετιόντας ὑπόπτου καθεστῶτος δεινῶς, καὶ κολακείας ἀγεννοῦς, ἀλλ' οὐ μαρτυρίας ἀληθοῦς τῶν ἀρίστων ἔργων εἶναι νομισθέντος; ἢ δῆλον ὅτι τῇ περὶ τὸν ἐπαινούμενον ἀρετῇ πεπιστευκότες ἐπιδώσομεν ἑαυ-

3 οὐδὲ μίαν VM | οὐδὲ ὥσπερ M, οὐδὲν ὥσπερ V 4 προαγορεύει Rsk.] προσαγορεύει V, πραγορεύειν Mv 7 ἐπὶ τοῦτο V] ἐπὶ τούτῳ 8 et 9 παραίνεσις ἀγαθὴ et χρῆσις Schaef. 12 τῶν ἔργων] Post haec verba Rsk. suspicatur excidisse ἐφίησιν | καὶ add. Rsk. 13 ἐθέλοι V] ἐθέλει | τῶν λόγων Wytt.] τῷ λόγῳ 14 ἐπὶ παντὶ μὲν Schaef. 15 ὅπῃ] ὅτι Rsk. | ὧν ἐὰν V 17 οὖν om. V 22 καθεστῶτος δεινῶς V] δεινῶς καθεστ. 24 ἢ VM] ἡ | δῆλον, ὅτι V] δηλονότι

τοὺς θαρροῦντες τοῖς ἐγκωμίοις; τίς ἂν οὖν ἡμῖν ἀρχὴ καὶ τάξις τοῦ λόγου γένοιτο καλλίστη; ἢ δῆλον ὡς ἡ τῶν προγόνων ἀρετή, δι' ἣν ὑπῆρξέ σοι καὶ τὸ τοιούτῳ γενέσθαι; τροφῆς δὲ οἶμαι καὶ παιδείας D ἑξῆς προσήκει μνησθῆναι, ἥπερ σοι τὸ πλεῖστον εἰς τὴν ὑπάρχουσαν ἀρετὴν συνεισηνέγκατο. ἐφ' ἅπασι δὲ τούτοις ὥσπερ γνωρίσματα τῶν τῆς ψυχῆς ἀρετῶν τὰς πράξεις διελθεῖν, καὶ τέλος ἐπιτιθέντα τῷ λόγῳ τὰς ἕξεις δηλῶσαι, ὅθεν ὁρμώμενος τὰ κάλλιστα τῶν ἔργων ἔδρασας καὶ ἐβουλεύσω. τούτῳ γὰρ οἶμαι καὶ τῶν ἄλλων πάντων διοίσειν τὸν λόγον. οἱ 6 μὲν γὰρ ἐπὶ τῶν πράξεων ἵστανται, ἀποχρῆν οἰόμενοι πρὸς τὴν τελείαν εὐφημίαν τὸ τούτων μνησθῆναι, ἐγὼ δὲ οἶμαι δεῖν περὶ τῶν ἀρετῶν τὸν πλεῖστον λόγον ποιήσασθαι, ἀφ' ὧν ὁρμώμενος ἐπὶ τοσοῦτον τῶν κατορθωμάτων ἦλθες. τὰ μὲν γὰρ πλεῖστα τῶν ἔργων, σχεδὸν δὲ πάντα, τύχη καὶ δορυφόροι καὶ στρατιωτῶν φάλαγγες καὶ τάξεις ἱππέων [καὶ πεζῶν] συγκατορθοῦσι, τὰ δὲ τῆς ἀρετῆς ἔργα μόνου τέ ἐστι τοῦ δράσαντος, καὶ ὁ ἐκ τούτων ἔπαινος ἀληθὴς B καθεστὼς ἴδιός ἐστι τοῦ κεκτημένου. οὐκοῦν ἐπειδὴ ταῦθ' ἡμῖν σαφῶς διώρισται, τῶν λόγων ἄρξομαι.

Ὁ μὲν οὖν τῶν ἐπαίνων νόμος οὐδὲν ἔλαττον τῆς πατρίδος ἢ τῶν προγόνων ἀξιοῖ μεμνῆσθαι. ἐγὼ δὲ οὐκ οἶδα, τίνα χρὴ πρῶτον ὑπολαβεῖν πατρίδα σήν· ἔθνη γὰρ μυρία περὶ ταύτης ἀμφισβητεῖ πολὺν ἤδη χρόνον. καὶ ἡ μὲν βασιλεύουσα τῶν ἁπάντων πόλις, μήτηρ οὖσα σὴ καὶ τροφὸς καὶ τὴν βασιλείαν C

1 ἂν οὖν V] οὖν αν 2 ἢ VM] ἡ 10 τούτῳ H] τούτων V, τοῦτον Mv 13 τὸ μνησθῆναι τούτων H. 15 ἐπὶ τὸ τοσοῦτον V 18 καὶ πεζῶν ut delenda inclusi. Reiskius suspicatur καὶ λόχοι πεζῶν

σοι μετὰ τῆς ἀγαθῆς τύχης παρασχοῦσα, ἐξαίρετον
αὑτῆς φησιν εἶναι τὸ γέρας, οὐ τοῖς κοινοῖς ἐφ᾽
ἁπάντων τῶν αὐτοκρατόρων δικαίοις χρωμένη· λέγω
δὲ ὅτι, κἂν ἀλλαχόθεν τυγχάνωσι, τῷ μετέχειν ἅπαν-
τας ἤδη τοῦ πολιτεύματος καὶ τοῖς ἐκεῖθεν ἡμῖν
καταδειχθεῖσιν ἔθεσι καὶ νόμοις χρῆσθαι πολῖται γε-
γόνασιν· [οὔκουν,] ἀλλ᾽ ὡς τεκοῦσα τὴν σὴν μητέρα
καὶ θρεψαμένη βασιλικῶς καὶ τῶν ἐσομένων ἐγγόνων
D ἀξίως. ἡ δὲ ἐπὶ τῷ Βοσπόρῳ πόλις, ὅλου τοῦ γέ-
νους τοῦ Κωνσταντίων ἐπώνυμος, πατρὶς μὲν οὐκ
εἶναί φησι, γεγονέναι δὲ ὑπὸ τοῦ σοῦ πατρὸς ὁμο-
λογεῖ, καὶ δεινὰ πάσχειν οἰήσεται, εἴ ταύτης γοῦν
τις αὐτὴν τῷ λόγῳ τῆς συγγενείας ἀφαιροῖτο. Ἰλλυ-
ριοὶ δέ, ὅτι παρ᾽ αὐτοῖς γέγονας, οὐκ ἀνέξονται τοῦ
καλλίστου τῶν εὐτυχημάτων στερόμενοι, εἴ τις ἄλλην
6 σοι πατρίδα προσνέμοι. ἀκούω δὲ ἔγωγε καὶ τῶν
ἑῴων ἤδη τινὰς λέγειν, ὅτι μὴ δίκαια δρῶμεν ἀφαι-
ρούμενοι σφᾶς τὸν ἐπὶ σοὶ λόγον· αὐτοὶ γάρ φασι
τὴν τήθην ἐπὶ τὸν τοῦ μητροπάτορος τοῦ σοῦ προ-
πέμψαι γάμον. καὶ σχεδὸν ἅπαντες οἱ λοιποὶ προ-
φάσεις ἐπινοοῦντες μικρὰς ἢ μείζονας αὑτοῖς (σε)
εἰσποιεῖν ἐκ παντὸς ἐγνώκασιν. ἐχέτω μὲν οὖν τὸ
γέρας ἣν αὐτὸς ἐθέλεις, καὶ ἣν ἀρετῶν μητέρα καὶ
B διδάσκαλον πολλάκις ἐπαινῶν εἴρηκας, τυγχανόντων
δὲ ἑκάστη κατὰ τὴν ἀξίαν αἱ λοιπαὶ τοῦ προσήκον-

2 αὑτῆς VM 4 et 5 ἅπαντες Schaef. 7 οὔκουν. ἀλλ᾽ ὡς M, οὐκοῦν ὡς Vv. Seclusi οὔκουν, sed malim οὔκουν οὕτως, ἀλλ᾽ ὡς 9 et 10 ὅλου τοῦ γένους τοῦ Κωνσταντίων V] ὅλη τοῦ Κ. γένους M, ὅλου τοῦ γένους τῶν Κ. v 11 γέγονε V 15 στερούμενος M pr. m., στερούμενοι sec. m. 18 ἐπὶ σοὶ M] ἐπί σοι 19 τηθὴν M, τίτθην pr. m., ut videtur, V, τήθην m. sec. 21 σε add. Schaef. 22 ἐγνώκασιν Pet.] ἐγνώκεσαν 23 αὐτὸς add. VM

τος. ἐγὼ δὲ ἐπαινεῖν μὲν ἁπάσας ἔχοιμ' ἂν ἀξίας οὔσας ἀξίας καὶ τιμῆς, ὀκνῶ δὲ μὴ διὰ τὸ μῆκος, εἰ καὶ δοκεῖ λίαν οἰκεῖα τοῦ παρόντος λόγου, διὰ τὸν καιρὸν ἀλλότρια φανῇ. τῶν μὲν οὖν ἄλλων τοὺς ἐπαίνους διὰ τοῦτ' ἀφήσειν μοι δοκῶ, τῆς Ῥώμης δὲ τὸ κεφάλαιον τῶν ἐπαίνων αὐτός, ὦ βασιλεῦ, συλλαβὼν ἐν βραχεῖ καὶ διδάσκαλον ἀρετῆς προσειπών, C τῷ δοῦναι τὸ κάλλιστον τῶν ἐγκωμίων, τοὺς παρὰ τῶν ἄλλων λόγους ἀφῄρησαι. τί γὰρ λέξομεν ἡμεῖς περὶ αὐτῆς τοιοῦτον ἕτερον; τί δὲ ἄλλος τις εἰπεῖν ἔχει; ὥστε μοι δοκῶ σεβόμενος εἰκότως τὴν πόλιν τούτῳ τιμᾶν αὐτὴν πλέον, τῷ παραχωρεῖν σοι τῶν εἰς αὐτὴν λόγων.

Ἀλλ' ὑπὲρ τῆς εὐγενείας τῆς σῆς ἴσως ἄξιον ἐπὶ τοῦ παρόντος ἐν βραχεῖ διελθεῖν. ἀπορεῖν δὲ ἔοικα κἀνταῦθα, πόθεν ἄρχεσθαι χρή. πρόγονοί τε γάρ εἰσί D σοι καὶ πάπποι καὶ γονεῖς ἀδελφοί τε καὶ ἀνεψιοὶ καὶ ξυγγενεῖς βασιλεῖς ἅπαντες, αὐτοὶ κτησάμενοι τὴν ἀρχὴν ἐννόμως ἢ παρὰ τῶν κρατούντων εἰσποιηθέντες. καὶ τὰ μὲν παλαιὰ τί δεῖ λέγειν, Κλαυδίου μνησθέντα, καὶ τῆς ἀρετῆς τῆς ἐκείνου ἐναργῆ παρέχειν καὶ γνώριμα πᾶσι τεκμήρια, τῶν ἀγώνων (τῶν) πρὸς τοὺς ὑπὲρ τὸν Ἴστρον οἰκοῦντας βαρβάρους ἀναμιμνήσκοντα, καὶ ὅπως τὴν ἀρχὴν ὁσίως ἅμα καὶ δι- 7 καίως ἐκτήσατο, καὶ τὴν ἐν βασιλείᾳ τῆς διαίτης λιτότητα, καὶ τὴν ἀφέλειαν τῆς ἐσθῆτος ἐπὶ τῶν εἰκόνων ὁρωμένην ἔτι; τὰ δὲ ὑπὲρ τῶν πάππων τῶν

1 ἔχοιμ' ἂν H] ἔχοιμι Wytt., εὔχομαι v 2 ἀξίας] δόξης Wytt. 6 et 7 σὺ συλλαβὼν Rsk. 9 ἀφῄρησαι Rsk.] ἀφαιρήσει Vv, ἀφαιρήσῃ M 10 τοιοῦτον ἕτερον VM] τοιοῦτον 11 μοι] μὴ V 21 Fort. transponendum παρέχειν ἐναργῆ, ut hiatus tollatur 22 ἀγώνων τῶν H] ἀγώνων

σῶν ἐστι μὲν τούτων νεώτερα, λαμπρὰ δὲ οὐ μεῖον ἐκείνων. ἔτυχον μὲν γὰρ ἄμφω τῆς ἀρχῆς δι' ἀρετὴν ἀξίω κριθέντε, γενομένω δὲ ἐπὶ τῶν πραγμάτων οὕτω πρός τε ἀλλήλους εὐνοϊκῶς ἔσχον καὶ πρὸς τὸν μεταδόντα τῆς βασιλείας εὐσεβῶς, ὥσθ' ὁ μὲν ὡμολόγει μηδὲν τούτου πώποτε κρεῖττον βεβουλεῦσθαι,
B πολλὰ καὶ ἄλλα σωτήρια τοῖς κοινοῖς ἐξευρών, οἱ δὲ τὴν μετ' ἀλλήλων κοινωνίαν μᾶλλον ἢ τὴν τῶν ὅλων ἀρχήν, εἴπερ οἷόν τε ἦν, ἑκάστῳ περιγενομένην ἠγάπων. οὕτω δὲ διακείμενοι τὰς ψυχὰς τῶν ἔργων ἔδρων τὰ κάλλιστα, σεβόμενοι μὲν μετὰ τὴν κρείττονα φύσιν τὸν τὴν ἀρχὴν αὐτοῖς παρασχόντα, τοῖς ὑπηκόοις δὲ ὁσίως καὶ φιλανθρώπως χρώμενοι, καὶ
C τοὺς βαρβάρους οὐκ ἐλαύνοντες μόνον πάλαι κατοικοῦντας καὶ νεμομένους καθάπερ τὴν οἰκείαν ἀδεῶς τὰ ἡμέτερα, φρούρια δὲ ἐπιτειχίζοντες αὐτοῖς τοσαύτην πρὸς αὐτοὺς εἰρήνην τοῖς ὑπηκόοις κατέστησαν, ὅσην οὐδὲ εὔξασθαι τότε ῥᾴδιον ἐδόκει. ἀλλ' ὑπὲρ μὲν τούτων οὐκ ἄξιον ἐν παρέργῳ λέγειν. τῆς δὲ ὁμονοίας αὐτῶν τῆς πρὸς ἀλλήλους τὸ μέγιστον σημεῖον παραλιπεῖν οὐδαμῶς εὔλογον, καὶ ἄλλως προσ-
D ῆκον τῷ λόγῳ. κοινωνίαν γὰρ τὴν καλλίστην τοῖς αὐτῶν παισὶν ἐπινοήσαντες τῶν σῶν πατέρων τοὺς γάμους ἥρμοσαν. προσήκει δὲ οἶμαι καὶ περὶ τούτων ἐν βραχεῖ διελθεῖν, ὅπως μὴ τῆς ἀρχῆς φανῇς μόνον, ἀλλὰ καὶ τῆς ἀρετῆς κληρονόμος. τὴν μὲν οὖν βασιλείαν ὅπως μετὰ τὴν τοῦ πατρὸς κατέσχε τελευτὴν αὐτοῦ τε ἐκείνου τῇ κρίσει καὶ τῶν στρατοπέδων

2 ἀρχῆς] ἀρετῆς V 6 τούτου πώποτε V] πώποτε τούτου 9 et 10 ἠγάπων] ἂν ἠγάπων ? 16 et 17 αὐτοῖς τοσαύτην πρὸς αὐτοὺς Rsk.] τοῖς πρὸς αὐτοὺς τοσαύτην 22 τὴν καλλίστην VM] καλλίστην 23 αὐτῶν Schaef.] αὐτῶν 25 φανῇς post ἀρετῆς ponunt Mv

ἁπάντων τῇ ψήφῳ πατὴρ ὁ σός, τί χρὴ νῦν περιεργάζεσθαι; τὴν δὲ ἐς τοὺς πολέμους ῥώμην ἐκ τῶν ἔργων μᾶλλον ἢ διὰ τῶν λόγων ἄν τις γνωρίσειε. τυραννίδας γάρ, ἀλλ' οὐ βασιλείας ἐννόμους καθαι- 8
ρῶν τὴν οἰκουμένην ἐπῆλθεν ἅπασαν. τοσαύτην δὲ εὔνοιαν αὐτοῦ τοῖς ὑπηκόοις παρέστησεν, ὥσθ' οἱ μὲν στρατευόμενοι τῆς περὶ τὰς δωρεὰς καὶ τὰς χάριτας μεγαλοψυχίας ἔτι μεμνημένοι καθάπερ θεὸν διατελοῦσι σεβόμενοι· τὸ δὲ ἐν ταῖς πόλεσι καὶ ἐπὶ τῶν ἀγρῶν πλῆθος, οὐχ οὕτω τῆς τῶν τυράννων ἀπαλλαγῆναι βαρύτητος εὐχόμενοι, ὡς παρὰ τοῦ σοῦ B
πατρὸς ἀρχθῆναι, τὴν κατ' ἐκείνων αὐτῷ νίκην ἐπηύχοντο. ἐπεὶ δὲ ἁπάντων κύριος κατέστη, ὥσπερ ἐξ αὐχμοῦ τῆς ἀπληστίας τοῦ δυναστεύσαντος πολλῆς ἀπορίας χρημάτων οὔσης καὶ τοῦ πλούτου τῶν βασιλείων ἐν μυχοῖς συνεληλαμένου, τὸ κλεῖθρον ἀφελὼν ἐπέκλυσεν ἀθρόως τῷ πλούτῳ πάντα, πόλιν τε ἐπώνυμον αὐτοῦ κατέστησεν ἐν οὐδὲ ὅλοις ἔτεσι δέκα, τοσούτῳ τῶν ἄλλων ἁπασῶν μείζονα, ὅσῳ τῆς Ῥώ- C
μης ἐλαττοῦσθαι δοκεῖ, ἧς τὸ δευτέραν τετάχθαι μακρῷ βέλτιον ἔμοιγε φαίνεται ἢ τὸ τῶν ἄλλων ἁπασῶν πρώτην νομίζεσθαι. καλὸν ἴσως ἐνταῦθα καὶ τῶν ἀοιδίμων Ἀθηνῶν μνησθῆναι, ἃς ἐκεῖνος ἔργοις καὶ λόγοις τιμῶν τὸν πάντα χρόνον διετέλει. βασιλεὺς γὰρ ὢν καὶ κύριος πάντων, στρατηγὸς ἐκείνων ἠξίου καλεῖσθαι, καὶ τοιαύτης εἰκόνος τυγχάνων μετ'

4 et 5 *καθαίρων* dubitanter Wytt. cf. 231 D 6 *παρέστησεν* H] *κατέστησεν* 7 et 8 *τὰς χάριτας* V] *χάριτας* 12 *κατ' ἐκείνων αὐτῷ* V] *κατ' αὐτῶν ἐκείνων* 12 et 13 *ἐνηύχοντο* V 13 *ἁπάντων* VM] *πάντων* 18 *αὐτοῦ* VM 19 *τοσούτῳ* — 22 *νομίζεσθαι* cit. Suidas v. *Κωνσταντινούπολις* 19 *τοσοῦτον* et *ὅσον* Suid. 22 *μείζονα καὶ* ante *πρώτην* vulgo addita om. V et Suid. 26 *εἰκόνος*] *εἰκότως* V



ἐπιγράμματος ἐγάνυτο πλέον ἢ τῶν μεγίστων τιμῶν
D ἀξιωθείς. ἀμειβόμενος δὲ ἐπ' αὐτῇ τὴν πόλιν, πυρῶν
μεδίμνους δίδωσι πολλάκις μυρίους καθ' ἕκαστον
ἔτος δωρεὰν καρποῦσθαι, ἐξ ὧν ὑπῆρχε τῇ πόλει μὲν
ἐν ἀφθόνοις εἶναι, ἐκείνῳ δὲ ἔπαινοι καὶ τιμαὶ παρὰ
τῶν βελτίστων.

Πολλῶν δὲ καὶ καλῶν ἔργων τῷ πατρὶ τῷ σῷ
πραχθέντων, ὧν τε ἐπεμνήσθην καὶ ὅσα διὰ τὸ μῆ-
κος παραλιπεῖν δοκῶ, πάντων ἄριστον ἔγωγε φαίην
9 ἄν, οἶμαι δὲ καὶ τοὺς ἄλλους ἅπαντας ὁμολογήσειν,
τὴν σὴν γένεσιν καὶ τροφὴν καὶ παιδείαν· ἐξ ἧς
ὑπάρχει τοῖς λοιποῖς οὐ τὸ πρὸς ὀλίγον ἀπολαῦσαι
τῆς ἀρίστης ἀρχῆς, ἀλλ' ὡς οἷόν τέ ἐστιν εἰς πλείονα
χρόνον. δοκεῖ γοῦν ἄρχειν ἐκεῖνος εἰσέτι. καὶ Κύρῳ
μὲν οὐχ ὑπῆρχε τοῦτο. τελευτήσαντος γὰρ ὁ παῖς
ὤφθη μακρῷ φαυλότερος, ὥστε ὁ μὲν ἐκαλεῖτο πατήρ,
B ὁ δὲ ἐπωνομάσθη δεσπότης. σὲ δὲ πρᾳότερον μὲν
τοῦ πατρὸς καὶ ἐν ἄλλοις πολλοῖς κρείττονα σαφῶς
εὖ οἶδα, καὶ δηλώσω τοῦ καιροῦ φανέντος ἐν τῷ
λόγῳ. ἐκείνῳ δὲ προσήκειν καὶ τούτου νομίζω μετα-
δόντι σοι τῆς ἀρίστης τροφῆς, ὑπὲρ ἧς ἤδη λέγειν
πειράσομαι, μητρὸς καὶ ἀδελφῶν τῶν σῶν ἐπιμνη-
σθείς. τῇ μὲν γὰρ εὐγενείας τοσοῦτον περιῆν καὶ
κάλλους σώματος καὶ τρόπων ἀρετῆς, ὅσον οὐκ ἄλλῃ
γυναικὶ ῥᾳδίως ἄν τις ἐξεύροι. ἐπεὶ καὶ Περσῶν
C ἀκούω τὸν ὑπὲρ Παρυσάτιδος λόγον, ὅτι μόνη γέ-
γονεν ἀδελφὴ καὶ μήτηρ καὶ γαμετὴ καὶ παῖς βασι-
λέως. ἀλλ' ἦν γε αὕτη τοῦ γήμαντος ἀδελφὴ τῇ

1 ἐγάνυτο Schaef.] ἐγάνυυτο 2 αὐτῇ VM] αὐτῷ 8 διὰ V] παρὰ 9 παραλιπεῖν ἂν δοκῶ? | ἔγωγε add. V 13 πλείονα] πλεῖστον? 14 ἄρχειν ἐκεῖνος V] ἐκεῖνος ἄρχειν 19 εὖ delet Wytt., ἔξοιδα volebat Schaef. Sed vid. idem ad Soph. Oed. C. 958 25 Περσῶν V] τῶν Περσῶν 28 αὕτη H] αὐτὴ

φύσει, νόμος δὲ ἐδίδου γαμεῖν ἀδελφὴν τῷ Πέρσῃ.
τὴν σὴν δὲ μητέρα κατὰ τοὺς παρ' ἡμῖν νόμους
ἀχράντους καὶ καθαρὰς τὰς οἰκειότητας ταύτας φυ-
λάττουσαν .... τοῦ μὲν εἶναι παῖδα, γαμετὴν δὲ
ἑτέρου, καὶ ἀδελφὴν ἄλλου, καὶ πολλῶν αὐτοκρατό-
ρων, οὐχὶ δὲ ἑνὸς μητέρα. ὧν ὁ μέν τις τῷ πατρὶ D
συγκατειργάσατο τὸν πρὸς τοὺς τυράννους πόλεμον,
ὁ δὲ τὴν πρὸς τοὺς Γέτας ἡμῖν εἰρήνην τοῖς ὅπλοις
κρατήσας ἀσφαλῆ παρεσκεύασεν, ὁ δὲ ἐτήρησεν ἄβα-
τον τοῖς πολεμίοις τὴν χώραν, αὐτὸς ἐπιστρατεύων
ἐκείνοις πολλάκις, ἕως ἐπέτρεπον οἵ μικρὸν ὕστερον
τῶν εἰς ἐκεῖνον ἀδικημάτων δίκην ὑποσχόντες. πολ-
λῶν δὲ ὑπαρχόντων ἐκείνοις περιφανῶν ἔργων, ἐφ'
οἷς ἄν τις αὐτοὺς δικαίως ἐπαινεῖν ἔχοι, καὶ τῶν ἐκ
τῆς τύχης ἀγαθῶν περιουσίας· οὐδέν ἐστι τοιοῦτον 10
τῶν ἄλλων, ἐφ' ᾧ μακαρίζων (ἂν) τις αὐτοὺς εἰκότως
σεμνύνοι, ὡς ὅτι τῶν μὲν ἀπόγονοι, τῶν δὲ ἔγγονοι
(γεγόνασιν). ἀλλ' ἵνα μὴ μακρότερα περὶ αὐτῶν λέ-
γων τὸν ὀφειλόμενον τοῖς ἐπαίνοις τοῖς σοῖς καιρὸν
ἀναλώσω τοῦ λόγου, πειράσομαι λοιπὸν ὡς ἡμῖν
ἄξιον, μᾶλλον δέ, εἰ δεῖ μηδὲν ὑποστειλάμενον εἰ-
πεῖν, μακρῷ τῶν προγόνων ἐπιδείξω σεμνότερον.
φήμας μὲν δὴ καὶ μαντείας καὶ ὄψεις τὰς ἐν τοῖς B
ὕπνοις, καὶ ὅσα ἄλλα θρυλεῖν εἰώθασιν ἐπὶ τῶν
οὕτω λαμπρὰ καὶ περιφανῆ πραξάντων, Κύρου καὶ

3 et 4 συνέβαινε post φυλάττουσαν add. Rsk., ego lacunam significavi 9 ἀσφαλῆ παρεσκεύασεν V] παρεσκεύασεν ἀσφαλῆ 10 πολεμίοις VM] πολεμίοις ἐκείνοις 14 αὐτοὺς δικαίως V] δικαίως αὐτοὺς | ἔχοι V] ἔχει 15 περιουσίας] οὔσης add. Wytt. | τοιοῦτον V] τοιοῦτο 16 ἄν, quod Schaef. post ᾧ addidit, ego post μακαρίζων posui 17 ἀπόγονοι Pet.] ἀπόγονος | ἔκγονοι Pet., ἔγγονος V, ἔκγονος M et v 18 γεγόνασιν add. Wytt. 20 ὡς ἡμῖν] σε ὑμνεῖν Wytt. Ego malim σε ἡμῖν et deinde ἐπιδεῖξαι 22 ἐπιδείξει V 24 θρυλεῖν H] θρυλλεῖν

τοῦ τῆς ἡμετέρας οἰκιστοῦ πόλεως καὶ Ἀλεξάνδρου τοῖ Φιλίππου, καὶ εἴ τις ἄλλος τοιοῦτος γέγονεν, ἑκὼν ἀφίημι· δοκεῖ γὰρ οὐ πόρρω ταῦτα τῆς ποιητικῆς ἐξουσίας εἶναι. καὶ τὰ παρὰ τὴν πρώτην ὑπάρξαντά σοι γένεσιν ὡς λαμπρὰ καὶ βασιλικὰ (καὶ) τὸ λέγειν εὔηθες. ἀλλ' ἐπειδὴ τῆς ἐν τοῖς παισὶν ἀγω-
C γῆς ὁ καιρὸς ὑπομέμνηκεν, ἔδει σοι τῆς βασιλικῆς τροφῆς δήπουθεν, ἣ τὸ μὲν σῶμα πρὸς ἰσχὺν καὶ ῥώμην καὶ εὐεξίαν καὶ κάλλος ἀσκήσει, τὴν ψυχὴν δὲ πρὸς ἀνδρείαν καὶ δικαιοσύνην καὶ σωφροσύνην καὶ φρόνησιν ἐμμελῶς παρασκευάσει. ταῦτα δὲ οὐ ῥᾴδιον διὰ τῆς ἀνειμένης ὑπάρχειν διαίτης, θρυπτούσης μέν, ὡς εἰκός, τὰς ψυχὰς καὶ τὰ σώματα, ἀσθενε-
D στέρας δὲ ἐργαζομένης πρός τε τοὺς κινδύνους τὰς γνώμας καὶ πρὸς τοὺς πόνους τὰ σώματα. οὐκοῦν τῷ μὲν ἔδει γυμναστικῆς, τῷ σώματι, τὴν ψυχὴν δὲ τῇ τῶν λόγων ἐκόσμεις μελέτῃ. ἐπὶ πλέον δὲ ὑπὲρ ἀμφοτέρων ἄξιον διελθεῖν· ἀρχὴ γάρ τις αὕτη τῶν μετὰ ταῦτα πράξεων γέγονε. τῆς μὲν οὖν ἐπιμελείας τῆς περὶ τὴν ἰσχὺν οὐ τὸ πρὸς τὰς ἐπιδείξεις ἁρμόζον ἤσκησας, ἥκιστα βασιλεῖ πρέπειν ὑπολαβὼν τῶν
11 τὰς παλαίστρας κατειληφότων τὴν θρυλουμένην εὐεξίαν, μέλλοντι τῶν ἀληθινῶν ἀγώνων μεθέξειν, ὕπνου τε ἐλαχίστου δεομένῳ καὶ τροφῆς οὐ πολλῆς, καὶ ταύτης οὔτε κατὰ πλῆθος οὔτε κατὰ ποιότητα πάντως ὡρισμένης οὔτε κατὰ τὸν καιρόν, ὃν χρὴ προσ-

5 *καὶ* add. Wytt. 7 *ὑπομέμνηκεν* M, *ὑπομεμένηκεν* V, *ὑπομέμνηκε* v 10 *καὶ σωφροσύνην* VM] *σωφροσύνην* 13 *καὶ τὰ σώματα* add. VM 14 *ἐργαζομένης* V] *κατεργαζομένης* 16 *τὸ μὲν* et *τὸ σῶμα* V, quae nescio an recipienda atque *ἐδεῖτο* scribendum sit 17 *λόγων* an *νόμων* V habeat, non liquet | *ἐκόσμεις* Pet.] *ἐκόσμει*. Schaeferus: *ἡ τῶν λόγων ἐκόσμει μελέτη* 22 *θρυλουμένην* M] *θρυλλουμένην* 24 *δεομένων* Rsk., *δεομένην* fl.

φέρεσθαι, τῆς ἐπιτυχούσης δέ, ἐπειδὰν αἱ πράξεις τὸν καιρὸν ἐνδῶσιν. ὅθεν ᾤου δεῖν καὶ τὰ γυμνάσια πρὸς ταύτην ποιεῖσθαι, εἶναι δὲ πολλὰ καὶ στρατιωτικά, χορείαν τὴν ἐν τοῖς ὅπλοις, δρόμον τὸν ἐν E τούτοις, τὴν ἱππικὴν τέχνην, οἷς ἅπασι διατετέλεκας ἐξ ἀρχῆς ἐν καιρῷ χρώμενος· καὶ κατώρθωταί παρὰ σοὶ τούτων ἕκαστον ὡς παρ' οὐδενὶ τῶν ἄλλων ὁπλιτῶν. οὐκοῦν ὁ μέν τις ἐκείνων, πεζὸς ὢν ἀγαθός, τὴν ἱππικὴν τέχνην ἠγνόησεν, ὁ δέ, ἐπιστάμενος χρῆσθαι τοῖς ἱππικοῖς, ὀκνεῖ πεζὸς εἰς μάχην ἰέναι. μόνῳ δὲ ὑπάρχει σοὶ τῶν μὲν ἱππέων ἀρίστῳ φαίνεσθαι παραπλησίως ἐκείνοις σταλέντι, μετασκευασαμένῳ δὲ ἐς τοὺς ὁπλίτας κρατεῖν ἁπάντων ῥώμῃ καὶ τάχει καὶ τῇ τῶν ποδῶν κουφότητι. ὅπως δὲ μὴ τὰς ἀνέσεις ῥαθύμους εἶναι μηδ' ἄνευ τῶν ὅπλων ποιεῖσθαι συμβαίνῃ, ἐπίσκοπα τοξεύειν ἤσκησας. καὶ τὸ μὲν σῶμα διὰ τῶν ἑκουσίων πόνων πρὸς τοὺς ἀκουσίους εὖ ἔχειν παρεσκεύασας, τῇ ψυχῇ δὲ ἡγεῖτο μὲν ἡ τῶν λόγων μελέτη καὶ τὰ προσήκοντα τοῖς τηλικούτοις μαθήματα. ὅπως δὲ μὴ παντάπασιν ἀγύμναστος ᾖ μηδὲ καθάπερ ᾄσματα καὶ μύθους τοὺς ὑπὲρ τῶν ἀρετῶν ἐπακούῃ λόγους, ἔργων δὲ ἀγαθῶν καὶ πράξεων ἄπειρος οὖσα τὸν τοσοῦτον διαμείνῃ χρόνον, καθάπερ ὁ γενναῖος ἠξίωσε Πλάτων οἱονεὶ πτερὰ τοῖς παισὶ χαριζόμενον καὶ ἐπὶ τοὺς ἵππους ἀνάγοντα ἄγειν εἰς τὰς μάχας, θεατὰς ἐσομένους ὧν

3 εἶναι δὲ delebat Wytt. 6 ἐξ ἀρχῆς in V pr. m. add. supra versum 6 et 7 παρὰ σοὶ M] παρά σοι 7 et 8 τῶν ἄλλων ἱππέων ἢ ὁπλιτῶν Rsk. Malim ὁπλιτῶν expungere 10 ἱππικοῖς] ὅπλοις V | ὤκνει Rsk. 15 μὴ δ' VM, μὴ δὲ (ut in libris persaepe scriptum est) v 21 ᾖ VM] ἦν 21 et 22 τοὺς ὑπὲρ VM] ὑπὲρ 22 ἐπακούῃ V] ὑπακούῃ 23 διαμείνῃ VM] διαμένῃ 24 ἠξίωσε om. V | Πλάτων] de rep. V 467 D 26 εἰς VM] ὡς



οὐκ εἰς μακρὰν ἀγωνιστὰς ἐχρῆν καταστῆναι, πατέρα 12 τὸν σὸν διανοηθέντα φαίην ἂν εἰκότως τοῖς Κελτῶν ἔθνεσιν ἐπιστῆσαί σε φύλακα καὶ βασιλέα, μειράκιον ἔτι, μᾶλλον δὲ παῖδα κομιδῇ τῷ χρόνῳ, ἐπεὶ τῇ γε συνέσει καὶ ῥώμῃ τοῖς καλοῖς κἀγαθοῖς ἀνδράσιν ἐνάμιλλον ἤδη. τοῦ μὲν ἀκίνδυνον γενέσθαι σοι τὴν πολεμικὴν ἐμπειρίαν ὁ πατὴρ προυνόησε καλῶς, εἰρήνην ἐπιτάξας πρὸς τοὺς ὑπηκόους ἄγειν τοῖς βαρ-
B βάροις· μάχεσθαι δὲ ἀναπείθων καὶ στασιάζειν πρὸς ἀλλήλους, ἐν ταῖς ἐκείνων συμφοραῖς καὶ τοῖς σώμασι στρατηγικὴν ἐδίδασκε τέχνην, ἀσφαλέστερον βουλευόμενος τοῦ σοφοῦ Πλάτωνος. τῷ μὲν γάρ, εἰ πεζὸς ἐπέλθοι πολεμίων στρατός, οἱ παῖδες θεαταὶ καὶ κοινωνοὶ τῶν ἔργων, ἤν που δεηθῶσι, τοῖς πατράσι γένοιντ' ἄν· κρατούντων δὲ ἱππεῦσι τῶν πολεμίων, ὥρα μηχανᾶσθαι τοῖς μειρακίοις σωτηρίας τρόπον
C δυσεπινόητον. τὸ δὲ ἐν ἀλλοτρίοις κινδύνοις τοὺς παῖδας ἐθίζειν πολεμίων ἀνέχεσθαι καὶ πρὸς τὴν χρείαν ἀρκούντως καὶ πρὸς τὴν ἀσφάλειαν δοκεῖ βεβουλεῦσθαι. ἐν μὲν δὴ τούτοις σοι πρὸς ἀνδρείαν ὑπῆρχε μελέτη. φρονήσεως δὲ ἡ μὲν φύσις, ἣν εἴληχας, αὐταρκὴς ἡγεμών· παρῆσαν δὲ οἶμαι καὶ τῶν πολιτῶν οἱ κράτιστοι τὰ πολιτικὰ διδάσκοντες. καὶ
D παρεῖχον ἠθῶν καὶ νόμων καὶ ξένων ἐπιτηδευμάτων ἐμπειρίαν αἱ πρὸς τοὺς ἡγεμόνας τῶν τῇδε βαρβάρων ἐντεύξεις. καίτοι τὸν Ὀδυσσέα συνετὸν Ὅμηρος ἐκ παντὸς ἀποφῆναι προαιρούμενος πολύτροπον εἶναί φησι καὶ πολλῶν ἀνθρώπων τὸν νοῦν καταγνῶναι καὶ ἐπελθεῖν ταῖς πόλεσιν, ἵν' ἐξ ἁπάντων ἐπιλεξά-

4 et 5 γε συνέσει] γενέσει V 6 ἤδη V] ᾔδει 13 ἐπέλθη V m. sec., m. pr. ἐπέλθοι, ut videtur 19 πρὸς ἀσφάλειαν VM 20 πρὸς] ἡ πρὸς Schaef. 29 ἐπελθεῖν VM] ἐπεξελθεῖν

μενος ἔχοι τὰ κράτιστα καὶ πρὸς παντοδαποὺς ἀν-
θρώπους ὁμιλεῖν δύναιτο. ἀλλὰ τὸν μὲν οὐκ ἐβασί-
λευσε ποικίλων ἠθῶν ἐμπειρίας χρεία· τὸν δὲ πρὸς 13
τοσαύτην ἡγεμονίαν τρεφόμενον οὐκ ἐν οἰκίσκῳ που
χρῆν διδάσκεσθαι οὐδὲ τὴν βασιλείαν, καθάπερ ὁ
Κῦρος, παίζοντα μιμεῖσθαι οὐδὲ χρηματίζειν τοῖς
ἥλιξι, καθάπερ ἐκεῖνον λέγουσιν, ἀλλ' ἔθνεσιν ὁμι-
λεῖν καὶ δήμοις, καὶ στρατιωτῶν τάγμασιν ἐπιτάττειν
ἁπλῶς τὸ πρακτέον· ὅλως δὲ οὐδενὸς ἀπολείπεσθαι
τούτων, ὧν ἐχρῆν ἄνδρα γενόμενον ἐπ' ἀδείας πράτ-
τειν. οὐκοῦν ἐπειδὴ τὰ παρὰ τούτοις ἐδιδάχθης κα- B
λῶς, ἐπὶ τὴν ἑτέραν ἤπειρον μετιὼν τοῖς Παρθυαίων
καὶ Μήδων ἔθνεσιν ἀντετάχθης μόνος. ὑποτυφομένου
δὲ ἤδη τοῦ πολέμου καὶ οὐκ εἰς μακρὰν μέλλοντος
ἀναρριπίζεσθαι, ταχέως καὶ τούτου κατέγνως τὸν τρό-
πον, καὶ τὴν τῶν ὅπλων ἰσχὺν ἐμιμήσω, καὶ πρὸς
τὴν ὥραν τοῦ θέρους εἴθισας καρτερεῖν τὸ σῶμα.
πυνθάνομαι δὲ Ἀλκιβιάδην μόνον ἐξ ἁπάντων Ἑλλή-
νων οὕτως εὐφυῶς μεταβολὰς ἐνεγκεῖν, ὡς καὶ μι- C
μήσασθαι (πρῶτον) μὲν τὴν τῶν Λακεδαιμονίων
ἐγκράτειαν, ἐπειδὴ Σπαρτιάταις αὐτὸν ἐδεδώκει, εἶτα
Θηβαίους, καὶ Θρᾷκας ὕστερον, καὶ ἐπὶ τέλει τὴν
τῶν Περσῶν τρυφήν. ἀλλ' ἐκεῖνος μὲν τοῖς χωρίοις
συμμεταβάλλων καὶ τὸν τρόπον ἀνεπίμπλατο πολλῆς
δυσχερείας καὶ τὸ πάτριον ἐκινδύνευε παντελῶς ἀπο-
βαλεῖν, σὺ δὲ τῆς μὲν ἐγκρατοῦς διαίτης ᾤου δεῖν

2 τὸ μὲν V. Locus corruptus fortasse ita scribendus est: τὸν μὲν οὐκ ἐπαίδευσε ποικίλων ἠθῶν ἐμπειρία πρὸς χρείαν 3 χρείαν V 5 χρῆν H] ἐχρῆν 6 κύρος VM, ut solent 7 ἥλιξι (superscr. ιν) (sic) V 10 τοῦτον ὧν V 20 πρῶτον add. Cobetus | τῶν Λακεδαιμονίων V] Λακεδαιμονίων 25 ἐκινδύνευε VM] ἐκινδύνευσε

D ἔχεσθαι πανταχοῦ, ἐθίζων δὲ τὸ σῶμα τοῖς πόνοις πρὸς τὰς μεταβολὰς ῥᾷον διήνεγκας τὴν ἐκ Γαλατῶν εἰς Παρθυαίους ἄνοδον (ἢ) τῶν πλουσίων οἱ ταῖς ὥραις τὴν οἴκησιν συμμεταβάλλοντες, εἰ παρὰ τὸν καιρὸν βιασθεῖεν. καί μοι δοκεῖ θεὸς εὐμενὴς πρὸς τὴν τῶν ὅλων ἡγεμονίαν ἐξ ἀρχῆς τὴν σὴν ἀρετὴν παρασκευάζειν ἐθέλων, κύκλῳ σε περιαγαγεῖν καὶ ἐπιδεῖξαι τῆς ἀρχῆς ἁπάσης ὅρους καὶ πέρατα καὶ φύσιν χωρίων καὶ μέγεθος χώρας καὶ δύναμιν ἐθνῶν
14 καὶ πλῆθος πόλεων καὶ φύσιν δήμων καὶ τὸ κράτιστον αὐτῶν ἐκείνων, τὴν γερουσίαν· ὧν οὐδενὸς ἀπολελεῖφθαι χρὴ τὸν πρὸς τοσαύτην ἀρχὴν τρεφόμενον. τὸ μέγιστον δὲ μικροῦ με διέφυγεν εἰπεῖν, ὅτι τούτων ἁπάντων ἄρχειν ἐκ παίδων διδασκόμενος, ἄρχεσθαι κρεῖττον ἔμαθες, ἀρχῇ τῇ πασῶν ἀρίστῃ καὶ δικαιοτάτῃ, φύσει τε καὶ νόμῳ, σαυτὸν ὑποτιθείς· πατρὶ γὰρ ὑπήκουες ἅμα καὶ βασιλεῖ· ὧν εἰ καὶ θάτερον ὑπῆρχεν ἐκείνῳ μόνον, ἄρχειν αὐτῷ πάντως
B προσῆκον ἦν. καίτοι τίνα ποτ' ἄν τις ἐξεύροι βασιλικὴν τροφὴν καὶ παιδείαν ἀμείνω ταύτης πάλαι γενομένην; οὔτε γὰρ Λακεδαιμόνιοι τῶν Ἑλλήνων, οἵπερ δὴ δοκοῦσιν ἀρίστης ἀρχῆς τῆς τῶν βασιλέων μεταλαβεῖν, οὕτω τοὺς Ἡρακλείδας ἐπαίδευον, οὔτε τῶν βαρβάρων οἱ Καρχηδόνιοι, βασιλευόμενοι διαφερόντως, τῆς ἀρίστης ἐπιμελείας τὸν ἄρχοντα σφῶν ἠξίουν· ἀλλὰ πᾶσιν ἦν κοινὰ τὰ παρὰ τῶν νόμων
C τῆς ἀρετῆς γυμνάσια καὶ τὰ παιδεύματα, καθάπερ ἀδελφοῖς τοῖς πολίταις ἄρξειν τε καὶ ἀρχθήσεσθαι μέλλουσι, καὶ οὐδὲν διάφορον προσῆν εἰς παιδείας

3 Παρθυαίους H] Πάρθους | ἢ add. Rsk. | οἱ] οἳ VM 4 συμμεταβάλλοντες V] μεταβάλλουσιν 6 ἡγεμονίαν ἐξ ἀρχῆς Rsk.] ἐξ ἀρχῆς ἡγεμονίαν 25 ἄρχοντα] ἄρξοντα?

λόγον τοῖς ἡγεμόσι τῶν ἄλλων. καίτοι πῶς οὐκ εὔηθες ἀπαιτεῖν μὲν ἀρετῆς μέγεθος ἀνυπέρβλητον παρὰ τῶν ἀρχόντων, προνοεῖν δὲ μηδέν, ὅπως ἔσονται τῶν πολλῶν διαφέροντες; καὶ τοῖς μὲν βαρβάροις, ἅπασιν ἐν κοινῷ τῆς ἀρχῆς ταύτης προκειμένης, τὸ τὴν ἐπιμέλειαν τῶν ἠθῶν ὁμοίαν γίγνεσθαι παράσχοι συγγνώμην· τὸν Λυκοῦργον δὲ τοῖς ἀφ' Ἡρακλέους D ἀστυφέλικτον τὴν βασιλείαν διαφυλάττοντα [καὶ] μηδεμίαν ὑπεροχὴν ἐν ταῖς ἐπιμελείαις τῶν νέων εὑρόντα σφόδρα ἄν τις εἰκότως μέμψαιτο. οὐδὲ γὰρ εἰ πάντας Λακεδαιμονίους ἀθλητὰς ἀρετῆς καὶ τροφίμους ᾤετο δεῖν εἶναι, τῆς ἴσης ἀξιοῦν ἐχρῆν τροφῆς καὶ παιδείας τοὺς ἰδιώτας τοῖς ἄρχουσιν. ἡ γὰρ τοιαύτη 15 κατὰ μικρὸν ὑποδυομένη συνήθεια ταῖς ψυχαῖς ἐντεκεῖν ὑπεροψίαν τῶν κρειττόνων· ὅλως γὰρ οὐδὲ κρείττονας νομιστέον τοὺς οὐ δι' ἀρετὴν πρωτεύειν λαχόντας. τοῦτο δὲ οἶμαι καὶ Σπαρτιάτας χαλεπωτέρους ἀρχθῆναι τοῖς βασιλεῦσι παρεῖχε πολλάκις. χρήσαιτο δ' ἄν τις σαφεῖ τεκμηρίῳ τῶν ῥηθέντων τῇ Λυσάνδρου πρὸς Ἀγησίλαον φιλοτιμίᾳ καὶ ἄλλοις B πλείοσιν, ἐπιὼν τὰ πεπραγμένα τοῖς ἀνδράσιν. ἀλλὰ τοῖς μὲν ἡ πολιτεία (τὰ) πρὸς ἀρετὴν ἀρκούντως παρασκευάζουσα, εἰ καὶ μηδὲν διαφέρον ἐπιτηδεύειν ἐδίδου τῶν πολλῶν, ἀλλὰ τὸ καλοῖς κἀγαθοῖς ὑπάρχειν παρεῖχεν ἀνδράσι· Καρχηδονίων δὲ οὐδὲ τὰ κοινὰ τῶν ἐπιτηδευμάτων ἐπαινεῖν ἄξιον. ἐξελαύνοντες γὰρ τῶν οἰκιῶν οἱ γονεῖς τοὺς παῖδας ἐπέταττον

5 et 6 τοῦ τὴν ἐπιμ. τ. ἠθ. ὁμ. γίγν. παράσχοις ἂν suspicatur Schaef. 7 τὸν Λυκοῦργον δὲ V] τὸν δὲ Λυκοῦργον | ἡρακλέος V 8 καὶ delendum videtur. cf. ad 47 D 8 μὴ δὲ μίαν VM 14 ἐντεκεῖν] ἐνέτεκεν Wytt., πέφυκεν ἐντεκεῖν Pet. 21 ἀνδράσιν VM] ἀνδράσι 22 τὰ ante πρὸς adjecit Wytt.

D ἔχεσθαι πανταχοῦ, ἐθίζων δὲ τὸ σῶμα τοῖς πόνοις
πρὸς τὰς μεταβολὰς ῥᾷον διήνεγκας τὴν ἐκ Γαλατῶν
εἰς Παρθυαίους ἄνοδον (ἢ) τῶν πλουσίων οἱ ταῖς
ὥραις τὴν οἴκησιν συμμεταβάλλοντες, εἰ παρὰ τὸν
καιρὸν βιασθεῖεν. καί μοι δοκεῖ θεὸς εὐμενὴς πρὸς
τὴν τῶν ὅλων ἡγεμονίαν ἐξ ἀρχῆς τὴν σὴν ἀρετὴν
παρασκευάζειν ἐθέλων, κύκλῳ σε περιαγαγεῖν καὶ
ἐπιδεῖξαι τῆς ἀρχῆς ἁπάσης ὅρους καὶ πέρατα καὶ
φύσιν χωρίων καὶ μέγεθος χώρας καὶ δύναμιν ἐθνῶν
14 καὶ πλῆθος πόλεων καὶ φύσιν δήμων καὶ τὸ κράτι-
στον αὐτῶν ἐκείνων, τὴν γερουσίαν· ὧν οὐδενὸς
ἀπολελεῖφθαι χρὴ τὸν πρὸς τοσαύτην ἀρχὴν τρεφό-
μενον. τὸ μέγιστον δὲ μικροῦ με διέφυγεν εἰπεῖν,
ὅτι τούτων ἁπάντων ἄρχειν ἐκ παίδων διδασκόμενος,
ἄρχεσθαι κρεῖττον ἔμαθες, ἀρχῇ τῇ πασῶν ἀρίστῃ
καὶ δικαιοτάτῃ, φύσει τε καὶ νόμῳ, σαυτὸν ὑποτιθείς·
πατρὶ γὰρ ὑπήκουες ἅμα καὶ βασιλεῖ· ὧν εἰ καὶ θά-
τερον ὑπῆρχεν ἐκείνῳ μόνον, ἄρχειν αὐτῷ πάντως
B προσῆκον ἦν. καίτοι τίνα ποτ' ἂν τις ἐξεύροι βασι-
λικὴν τροφὴν καὶ παιδείαν ἀμείνω ταύτης πάλαι γε-
νομένην; οὔτε γὰρ Λακεδαιμόνιοι τῶν Ἑλλήνων,
οἵπερ δὴ δοκοῦσιν ἀρίστης ἀρχῆς τῆς τῶν βασιλέων
μεταλαβεῖν, οὕτω τοὺς Ἡρακλείδας ἐπαίδευον, οὔτε
τῶν βαρβάρων οἱ Καρχηδόνιοι, βασιλευόμενοι δια-
φερόντως, τῆς ἀρίστης ἐπιμελείας τὸν ἄρχοντα σφῶν
ἠξίουν· ἀλλὰ πᾶσιν ἦν κοινὰ τὰ παρὰ τῶν νόμων
C τῆς ἀρετῆς γυμνάσια καὶ τὰ παιδεύματα, καθάπερ
ἀδελφοῖς τοῖς πολίταις ἄρξειν τε καὶ ἀρχθήσεσθαι
μέλλουσι, καὶ οὐδὲν διάφορον προσῆν εἰς παιδείας

3 Παρθυαίους H] Πάρθους | ἢ add. Rsk. | οἱ] οἳ VM
4 συμμεταβάλλοντες V] μεταβάλλουσιν 6 ἡγεμονίαν ἐξ ἀρ-
χῆς Rsk.] ἐξ ἀρχῆς ἡγεμονίαν 25 ἄρχοντα] ἄρξοντα?

λόγον τοῖς ἡγεμόσι τῶν ἄλλων. καίτοι πῶς οὐκ εὔηθες ἀπαιτεῖν μὲν ἀρετῆς μέγεθος ἀνυπέρβλητον παρὰ τῶν ἀρχόντων, προνοεῖν δὲ μηδέν, ὅπως ἔσονται τῶν πολλῶν διαφέροντες; καὶ τοῖς μὲν βαρβάροις, ἅπασιν ἐν κοινῷ τῆς ἀρχῆς ταύτης προκειμένης, τὸ τὴν ἐπιμέλειαν τῶν ἠθῶν ὁμοίαν γίγνεσθαι παράσχοι συγγνώμην· τὸν Λυκοῦργον δὲ τοῖς ἀφ' Ἡρακλέους D ἀστυφέλικτον τὴν βασιλείαν διαφυλάττοντα [καὶ] μηδεμίαν ὑπεροχὴν ἐν ταῖς ἐπιμελείαις τῶν νέων εὑρόντα σφόδρα ἂν τις εἰκότως μέμψαιτο. οὐδὲ γὰρ εἰ πάντας Λακεδαιμονίους ἀθλητὰς ἀρετῆς καὶ τροφίμους ᾤετο δεῖν εἶναι, τῆς ἴσης ἀξιοῦν ἐχρῆν τροφῆς καὶ παιδείας τοὺς ἰδιώτας τοῖς ἄρχουσιν. ἡ γὰρ τοιαύτη 15 κατὰ μικρὸν ὑποδυομένη συνήθεια ταῖς ψυχαῖς ἐντεκεῖν ὑπεροψίαν τῶν κρειττόνων· ὅλως γὰρ οὐδὲ κρείττονας νομιστέον τοὺς οὐ δι' ἀρετὴν πρωτεύειν λαχόντας. τοῦτο δὲ οἶμαι καὶ Σπαρτιάτας χαλεπωτέρους ἀρχθῆναι τοῖς βασιλεῦσι παρεῖχε πολλάκις. χρήσαιτο δ' ἄν τις σαφεῖ τεκμηρίῳ τῶν ῥηθέντων τῇ Λυσάνδρου πρὸς Ἀγησίλαον φιλοτιμίᾳ καὶ ἄλλοις B πλείοσιν, ἐπιὼν τὰ πεπραγμένα τοῖς ἀνδράσιν. ἀλλὰ τοῖς μὲν ἡ πολιτεία (τὰ) πρὸς ἀρετὴν ἀρκούντως παρασκευάζουσα, εἰ καὶ μηδὲν διαφέρον ἐπιτηδεύειν ἐδίδου τῶν πολλῶν, ἀλλὰ τὸ καλοῖς κἀγαθοῖς ὑπάρχειν παρεῖχεν ἀνδράσι· Καρχηδονίων δὲ οὐδὲ τὰ κοινὰ τῶν ἐπιτηδευμάτων ἐπαινεῖν ἄξιον. ἐξελαύνοντες γὰρ τῶν οἰκιῶν οἱ γονεῖς τοὺς παῖδας ἐπέταττον

5 et 6 τοῦ τὴν ἐπιμ. τ. ἠθ. ὁμ. γίγν. παράσχοις ἂν suspicatur Schaef. 7 τὸν Λυκοῦργον δὲ V] τὸν δὲ Λυκοῦργον | ἡρακλέος V 8 καὶ delendum videtur. cf. ad 47 D 8 μη δὲ μίαν VM 14 ἐντεκεῖν] ἐνέτεκεν Wytt., πέφυκεν ἐντεκεῖν Pet. 21 ἀνδράσιν VM] ἀνδράσι 22 τὰ ante πρὸς adiecit Wytt.

εὐπορεῖν διὰ τῶν πόνων τῶν προς τὴν χρείαν ἀναγ- C καίων, τὸ δρᾶν τι τῶν δοκούντων αἰσχρῶν ἀπαγορεύοντες. τὸ δὲ ἦν, οὐ τὴν ἐπιθυμίαν ἐξελεῖν τῶν νέων, ἀλλὰ τὸ λαθεῖν πειρᾶσθαι ἱδρῶτα προστάττειν. πέφυκε γὰρ οὐ τρυφὴ μόνον ἦθος διαφθείρειν, ἀλλὰ καὶ ἡ τῶν ἀναγκαίων ἐνδεὴς δίαιτα, ἐφ' ὧν οὔπω τὸ κρίνειν ὁ λόγος προσλαβὼν ἕπεται ταῖς χρείαις ὑπὸ τῆς ἐπιθυμίας ἀναπειθόμενος, ἄλλως τε εἰ καὶ D τούτου μὴ κρατοίη τοῦ πάθους, πρὸς χρηματισμὸν ἐκ παίδων συνεθιζόμενος καί τινας ἀμοιβὰς ἐμποριῶν καὶ καπηλείας τὰς μὲν αὐτὸς εὑρὼν τὰς δὲ παρὰ τῶν εἰδότων μαθών, ὑπὲρ ὧν οὐ λέγειν μόνον, ἀλλ' οὐδὲ ἀκούειν ἄξιον ἐλευθέρῳ παιδί, πλείστας ἂν κηλῖδας ἐναπόθοιτο τῇ ψυχῇ, ὧν πασῶν καθαρὸν εἶναι χρὴ καὶ τὸν ἐπιεικῆ πολίτην, ἀλλ' οὐ τὸν βασιλέα καὶ στρατηγὸν μόνον. ἐμοὶ δὲ οὐκ ἐπιτιμᾶν 16 ἐπὶ τοῦ παρόντος ἐκείνοις προσήκει· δείξω δὲ μόνον τῆς διατροφῆς τὸ διαφέρον, ᾗ χρησάμενος κάλλει καὶ ῥώμῃ καὶ δικαιοσύνῃ καὶ σωφροσύνῃ διήνεγκας, διὰ μὲν τῶν πόνων τὴν εὐεξίαν περιβαλόμενος, διὰ δὲ τῶν νόμων τὴν σωφροσύνην κτησάμενος, καὶ τῷ μὲν σώματι ῥωμαλεωτέρῳ διὰ τὴν ἐγκράτειαν τῆς ψυχῆς, τῇ ψυχῇ δ' αὖ διὰ τὴν τοῦ σώματος καρτερίαν δικαιοτέρᾳ χρώμενος, τὰ μὲν ἐκ φύσεως ἀγαθὰ συναύξων ἐκ παντός, τὰ δὲ ταῖς ἐπιμελείαις ἔξωθεν ἀεὶ B προσλαμβάνων· καὶ ἐνδεόμενος μὲν οὐδενός, ἐπαρκῶν δ' ἄλλοις καὶ χαριζόμενος μεγάλας δωρεὰς καὶ ὅσαι

4 τοῦ λαθεῖν Schaef. 5 τὸ ἦθος Schaef. 10 ἐμποριῶν Rsk.] ἐμπόρων 12 μανθάνων V 14 κηλῖδας Schaef.] κηλίδας 18 διατροφῆς V] τροφῆς | διαφέρον V] διάφορον 20 περιβαλόμενος Rsk.] περιβαλλόμενος 21 κτησάμενος] καταχρησάμενος V 23 αὖ] αὖθις M 24 φύσεως VM] τῆς φύσεως 26 ἐνδεόμενος H] δεόμενος. vid. ad 125 D 27 δὲ VM

τοὺς λαβόντας ἤρκουν ἀποφῆναι τῷ Λυδῶν δυνάστῃ παραπλησίους, ἐνδεέστερον μὲν ἀπολαύων αὐτὸς τῶν ὑπαρχόντων ἀγαθῶν ἢ Σπαρτιατῶν ὁ σωφρονέστατος, τοῦ τρυφᾶν δὲ παρέχων ἄλλοις χορηγίαν, καὶ τοῖς βουλομένοις σωφρονεῖν παρέχων σαυτὸν μιμεῖσθαι, ἄρχων μὲν πρᾴως καὶ φιλανθρώπως τῶν ἄλλων, ἀρχόμενος δὲ ὑπὸ τοῦ πατρὸς σωφρόνως καὶ ὡς εἷς τῶν πολλῶν τὸν ἅπαντα διετέλεις χρόνον. παιδὶ μὲν ὄντι σοι καὶ μειρακίῳ ταῦτά τε ὑπῆρχε καὶ ἄλλα πλείονα, περὶ ὧν νῦν λέγειν μακρότερον ἂν εἴη τοῦ καιροῦ.

Γενόμενος δὲ ἐφ' ἡλικίας, καὶ τῷ πατρὶ τὴν εἱμαρμένην τελευτὴν τοῦ δαίμονος μάλα ὀλβίαν παρασχόντος, οὐ μόνον τῷ πλήθει καὶ κάλλει τῶν ἐπενεχθέντων τὸν τάφον ἐκόσμεις, γενέσεως καὶ τροφῆς ἀποτίνων τὰ χαριστήρια, πολὺ δὲ πλέον τῷ μόνος ἐκ πάντων τῶν ἐκείνου παίδων ζῶντος μὲν ἔτι καὶ πιεζομένου τῇ νόσῳ πρὸς αὐτὸν ὁρμῆσαι, τελευτήσαντος δὲ τὰς μεγίστας τιμὰς καταστῆσαι, ὑπὲρ ὧν ἐξαρκεῖ καὶ τὸ μνησθῆναι. καλοῦσι γὰρ ἡμᾶς ἐφ' αὑτὰς αἱ πράξεις ὑπομιμνήσκουσαι τῆς ῥώμης, τῆς εὐψυχίας, εὐβουλίας τε ἅμα καὶ δικαιότητος, οἷς ἄμαχος ὤφθης καὶ ἀνυπέρβλητος, τὰ μὲν πρὸς τοὺς ἀδελφοὺς καὶ τοὺς πολίτας καὶ τοὺς πατρῴους σοι φίλους καὶ τὰ στρατεύματα δικαίως καὶ σωφρόνως καταστησάμενος· πλὴν εἴ που βιασθεὶς ὑπὸ τῶν καιρῶν ἄκων ἑτέρους ἐξαμαρτεῖν οὐ διεκώλυσας· τὰ δὲ

1 *Λυδῶν* M] *Λυδῷ* 9 *μὲν ὄντι*] *μὲν οὖν ὄντι* H 15 *ἐκόσμεις* Rsk. et Wytt.] *ἐκόσμει* | *γενέσεως*] *γενναίως* V 20 *ἐξαρκεῖ* Pet. et Pc teste Heylero ad Epist. p. 335] *ἐξ ἀρχῆς* 24 *σοι* V] *σου*. cf. 259 C 277 C 365 C 26 *καταστησάμενος* aut h. l. aut p. 20, 2 et 3 deletum vult Rsk. 27 *ἑτέρους* Schaef.] *ἑτέροις* | *τὰ δὲ* VM] *τὸ δὲ*

πρὸς τοὺς πολεμίους ἀνδρείως καὶ μεγαλοπρεπῶς καὶ τῆς προϋπαρχούσης ἀξίως τοῦ γένους δόξης καταστησάμενος. τοῖς μὲν δι' ὁμονοίας τὸν ἅπαντα χρόνον συγγέγονας, ἀστασίαστον μὲν τὴν πόλιν διαφυλάττων
B καὶ τοὺς ἀδελφοὺς συνάρχοντας θεραπεύων ἀεί, τοῖς φίλοις δὲ τῆς ἴσης παρηγορίας μεταδιδοὺς καὶ τῆς παρρησίας μετὰ τῶν ἄλλων ἀγαθῶν ἀφθόνως, κοινωνῶν μὲν ἅπασι τῶν ὑπαρχόντων, μεταδιδοὺς δὲ ὧν ἕκαστος ἐνδεὴς δόξειε. καὶ τούτων μάρτυσι μὲν αὐτοῖς ἐκείνοις εἰκότως ἄν τις χρήσαιτο, καὶ τὰ πράγματα δὲ τοῖς ἀπολειφθεῖσι τῆς πρὸς ἐκείνους συνουσίας ἱκανὰ δηλῶσαι τὴν προαίρεσιν τοῦ βίου παντός.

C Ῥητέον δὲ ὑπὲρ αὐτῶν ἤδη τῶν πράξεων ἀναβαλλομένοις τὸν ὑπὲρ τῶν ἕξεων λόγον. Πέρσαι τῆς Ἀσίας ἁπάσης πάλαι κρατήσαντες καὶ τῆς Εὐρώπης τὰ πολλὰ καταστρεψάμενοι, μικροῦ δέω φάναι πᾶσαν τὴν οἰκουμένην περιβαλόμενοι κύκλῳ ταῖς ἐλπίσιν, ἐπειδὴ τὴν ἀρχὴν ὑπὸ Μακεδόνων ἀφῄρηντο, τῆς Ἀλεξάνδρου στρατηγίας ἔργον γενόμενοι, μᾶλλον δὲ παίγνιον, χαλεπῶς φέροντες [πρὸς] τὸ δουλεύειν, ὡς ἐκεῖνον ᾔσθοντο τετελευτηκότα, τῶν διαδόχων ἀπο-
D στάντες Μακεδόσι τε εἰς τὴν ἀντίπαλον δύναμιν αὖθις κατέστησαν καὶ ἡμῖν τὸ λειπόμενον τῆς Μακεδόνων ἀρχῆς κατακτησαμένοις ἀξιόμαχοι διὰ τέλους ἔδοξαν εἶναι πολέμιοι. καὶ τῶν μὲν παλαιῶν τί χρὴ νῦν ὑπομιμνήσκειν, Ἀντωνίου καὶ Κράσσου, στρατηγῶν

7 et 8 κοινωνῶν] κοινῶν? Vid. tamen Cobeti V. L. p. 318 et infra 45 B 290 D 305 B 9 δόξειε Schaef.] δόξει 17 et 18 πᾶσαν τὴν οἰκουμένην V] τὴν οἰκουμένην ἅπασαν 18 περιβαλόμενοι Schaef.] περιβαλλόμενοι V, περιλαβόμενοι v 21 πρὸς delere Rsk. vult aut ἔχοντες pro φέροντες scribere

αὐτοκρατόρων, καὶ ὡς ἐκεῖνα διὰ μακρῶν ἀπωσάμεθα κινδύνων τὰ αἴσχη, πολλῶν καὶ σωφρόνων αὐτοκρατόρων ἀναμαχεσαμένων τὰ πταίσματα; τί δὲ χρὴ τῶν δευτέρων ἀτυχημάτων μεμνῆσθαι καὶ τῶν ἐπ' αὐτοῖς τοῦ Κάρου πράξεων [, ὅσπερ μετὰ τὰς συμ- 11 φορὰς ᾑρέθη στρατηγός]; ἀλλ' οἱ τὴν θαυμαστὴν καὶ παρὰ πᾶσιν ἀγαπωμένην εἰρήνην ἐπιτάξαντες ἐκείνοις ἄγειν, οἱ πρὸ τοῦ σοῦ πατρὸς τὴν βασιλείαν κατασχόντες, οὐχ ὁ μὲν καῖσαρ καθ' αὑτὸν συμβαλὼν αἰσχρῶς ἀπήλλαξεν; ἐπιστραφέντος δὲ τοῦ τῆς οἰκουμένης ἁπάσης ἄρχοντος καὶ τὰς δυνάμεις τῆς ἡγεμονίας ἁπάσης ἐκεῖσε τρέψαντος καὶ προκαταλαβόντος τὰς εἰσβολὰς στρατεύμασι καὶ καταλόγοις ὁπλι- B τῶν παλαιῶν καὶ νεολέκτων καὶ παντοδαπαῖς παρασκευαῖς, δεδιότες μόλις τὴν εἰρήνην ἠγάπησαν. ἣν οὐκ οἶδ' ὅπως περιόντος τοῦ πατρὸς τοῦ σοῦ συγχέαντες καὶ συνταράξαντες, τῆς μὲν παρ' ἐκείνου τιμωρίας διήμαρτον, ἐν ταῖς πρὸς τὸν πόλεμον παρασκευαῖς τὸν βίον μεταλλάξαντος· σοὶ δὲ ὑπέσχον τὴν δίκην ὕστερον τῶν τετολμημένων. μέλλων δὲ ἔτι δὴ τῶν πρὸς αὐτοὺς ἀγώνων γενομένων σοι πολλάκις ἅπτεσθαι τοσοῦτον ἀξιῶ σκοπεῖν τοὺς ἀκροωμένους, C ὅτι τοῦ τρίτου μορίου τῆς ἀρχῆς καθεστὼς κύριος οὐδαμῶς πρὸς τὸν πόλεμον ἐρρῶσθαι δοκοῦντος, οὐχ ὅπλοις, οὐκ ἀνδράσι τοῖς στρατευομένοις, οὐδενὶ τῶν ἄλλων, ὅσα πρὸς τηλικοῦτον πόλεμον ἐχρῆν ἐπιρρεῖν

1 ὡς Rsk. et H] οἷς 1 et 2 ἀπωσάμεθα] Cf. ὠθοῦντο 59 D et 64 B 5 Κάρου Pet.] καιροῦ | ὅσπερ Rsk. et Schaef.] ὥσπερ. Verba in pet. uncis inclusa om. M 6 ἡρέθη V 10 δὲ add. VM 11 ἁπάσης VM] πάσης 15 δεδιότες Schaef.] ᾄδοντες VM, ἃ ἰδόντες v 16 περιόντος] περιόντος ἔτι H 23 καθεστὼς κύριος V] κύριος καθεστὼς



ἄφθονα, πρὸς τούτοις δὲ οὐδὲ τῶν ἀδελφῶν σοι δι'
ἁσδηποτοῦν αἰτίας τὸν πόλεμον ἐλαφρυνόντων· καὶ
οὐκ ἔστιν οὐδεὶς οὕτως ἀναίσχυντος οὐδὲ βάσκανος
D συκοφάντης, ὃς οὐκ αἰτιώτατον γενέσθαι σὲ τῆς πρὸς
ἐκείνους ὁμονοίας φήσει· ὄντος δὲ οἶμαι τοῦ πολέ-
μου καθ' αὑτὸν δυσχεροῦς, τὰ τῶν στρατοπέδων πρὸς
τὴν μεταβολὴν διεταράττετο, τὸν μὲν παλαιὸν σφῶν
ἡγεμόνα ποθεῖν ἐκβοῶντες, ὑμῶν δὲ ἄρχειν ἐθέλοντες·
καὶ ἄλλα μυρία ἄτοπα καὶ δυσχερῆ πανταχόθεν ἀνα-
φυόμενα χαλεπωτέρας τὰς ὑπὲρ τοῦ πολέμου παρεῖχεν
ἐλπίδας· Ἀρμένιοι παλαιοὶ σύμμαχοι στασιάζοντες καὶ
19 μοῖρα σφῶν οὐ φαύλη Πέρσαις προσθέμενοι, τὴν
ὅμορον σφίσι λῃσταῖς κατατρέχοντες· καὶ ὅπερ ἐν
τοῖς παροῦσιν ἐφαίνετο μόνον σωτήριον, τὸ σὲ τῶν
πραγμάτων ἔχεσθαι καὶ βουλεύεσθαι, τέως οὐχ ὑπῆρχε
διὰ τὰς πρὸς τοὺς ἀδελφοὺς ἐν Παιονίᾳ συνθήκας,
ἃς αὐτὸς παρὼν οὕτω διῴκησας, ὡς μηδεμίαν ἀφορ-
μὴν ἐκείνοις παρασχεῖν μέμψεως. μικροῦ με ἔλαθεν
(ἡ) τῶν πράξεων ἀρχὴ διαφυγοῦσα καλλίων ἁπασῶν
B ἢ ταῖς καλλίσταις ἐξ ἴσης θαυμαστή. τὸ γὰρ ὑπὲρ
τοσούτων πραγμάτων βουλευόμενον μηδὲν ἐλαττοῦ-
σθαι δοκεῖν, εἰ τοῖς ἀδελφοῖς τὸ πλέον ἔχειν ἑκὼν
συγχωροίης, σωφροσύνης καὶ μεγαλοψυχίας μέγιστον
ἂν εἴη σημεῖον. νῦν δὲ εἰ μέν τις τὴν πατρῴαν
οὐσίαν πρὸς τοὺς ἀδελφοὺς νεμόμενος ἑκατὸν ταλάν-
των, κείσθω δέ, εἰ βούλει, τοσούτων ἄλλων, εἶτα

1 et 2 διασδηποτοῦν V, δι' ἃς δήποτε οὖν v 4 γενέσθαι σὲ H] γενέσθαί σε 13 λῃστείαις Rsk. 14 σὲ VM] σε 15 προσταγμάτων V 16 Παιονίᾳ] Sic solet Iulianus cum aliis Graecis Pannoniam dicere; vid. Kuster. ad Suid. v. Δράος et Ioh. Laurentius de magistratibus 3, 32 p. 206 17 μὴ δὲ μίαν VM 18 et 19 ἔλαθεν ἡ Schaef.] ἔλαθε 20 ἢ] ἡ V 22 τὸ πλέον ἔχειν ἑκὼν V] ἑκὼν ἔχειν τὸ πλέον

ἔχων (πεντήκοντα) μναῖς ἔλαττον ἠγάπησε δή, καὶ μικροῦ παντελῶς ἀργυρίου τὴν πρὸς ἐκείνους ὁμόνοιαν ἀνταλλαξάμενος, ἐπαίνων ἂν ἐδόκει καὶ τιμῆς C ἄξιος ὡς χρημάτων κρείττων, ὡς εὔβουλος φύσει, ξυνελόντι δὲ εἰπεῖν, ὡς καλὸς κἀγαθός. ὁ δὲ ὑπὲρ τῆς τῶν ὅλων ἀρχῆς οὕτω μεγαλοψύχως καὶ σωφρόνως δοκῶν βεβουλεῦσθαι, ὡς τὸν μὲν ἐκ τῆς ἐπιμελείας αὐτῷ μείζονα μὴ προσθεῖναι πόνον, τῶν δὲ ἐκ τῆς ἀρχῆς προσόδων ἑκὼν ὑφίεσθαι ὑπὲρ ὁμονοίας καὶ τῆς πρὸς ἀλλήλους Ῥωμαίων ἁπάντων εἰρήνης, πόσων ἐπαίνων ἄξιον κρινεῖ τις; οὐ μὴν οὐδὲ D ἐκεῖνο λέγειν ἔνεστιν ἐνταῦθα, ὡς καλῶς μέν, ἀ(λυσιτελῶς δέ·) λυσιτελὲς μὲν γὰρ οὐδέν, ὅ, τι μὴ τὸ αὐτὸ καὶ καλόν, ἔμοιγε φαίνεται. ὅλως δὲ εἴ τινι καθ' αὑτὸ τὸ συμφέρον ἐξετάζειν δοκεῖ, κρινέτω μὴ πρὸς ἀργύριον σκοπῶν μηδὲ προσόδους χωρίων ἀπαριθμούμενος, καθάπερ οἱ φιλάργυροι γέροντες ὑπὸ τῶν κωμῳδῶν ἐπὶ τὴν σκηνὴν ἑλκόμενοι, ἀλλὰ πρὸς τὸ μέγεθος τῆς ἀρχῆς καὶ τὴν ἀξίωσιν. φιλονεικῶν μὲν 24 γὰρ ὑπὲρ τῶν ὁρίων καὶ δυσμενῶς ἔχων ἐκείνων ἂν ἦρξε μόνων ὧν ἔλαχεν, εἰ καὶ πλέον ἔχων ἀπῄει· ὑπερορῶν δὲ τῶν μικρῶν καὶ καταφρονήσας ἦρχε μὲν ἁπάσης μετὰ τῶν ἀδελφῶν τῆς οἰκουμένης, ἐπεμελεῖτο δὲ τοῦ λαχόντος μέρους, ἀπολαύων μὲν τελείας τῆς τιμῆς, μετέχων δὲ ἔλαττον τῶν ἐπ' αὐτῇ πόνων.

1 πεντήκοντα μναῖς Rsk. et Cobetus] μνᾶς | δὴ] δὲ V. Pro δὴ καὶ malim ἀντὶ, Rsk. φαύλου post ἠγάπησε excidisse putat 5 ὁ δὲ V] ὁ δὴ. Reiskius: „Lege τὸν δὲ et paulo post δοκοῦντα". At de nominativo vid. ad 200 B et 329 A 8 αὑτῷ Schaef.] αὐτῷ | μὴ add. V. vid. 20 A 11 κρινεῖ Rsk.] κρίνει 12 καλὴ VM | ἀλυσιτελῶς δὲ· λυσιτελὲς Pet. et Wytt.] ἀλυσιτελὲς 14 et 15 καθ' αὐτῷ V 16 μὴ δὲ προσόδους VM] μὴ προσόδους 20 δυσμενῶς] δύο μὲν ὡς VM 21 ἀπείη V 22 δὲ τῶν μικρῶν καὶ V] δὲ καὶ τῶν μικρῶν



ἀλλ' ὑπὲρ μὲν τούτων καὶ αὖθις ἐξέσται διὰ μακρο-
τέρων δηλῶσαι. ὅπως δὲ τῶν πραγμάτων ἐπεμελήθης,
B τοσούτων κύκλῳ περιστάντων μετὰ τὴν τοῦ πατρὸς
τελευτὴν κινδύνων καὶ παντοδαπῶν θορύβου πραγ-
μάτων, πολέμου γενναίου, πολλῆς καταδρομῆς, συμ-
μάχων ἀποστάσεως, στρατοπέδων ἀταξίας, ὅσα ἄλλα
τότε δυσχερῆ κατελάμβανεν, ἴσως ἤδη διελθεῖν ἄξιον.
ἐπειδὴ γάρ σοι τὰ τῶν συνθηκῶν μετὰ τῆς ἀρίστης
ὁμονοίας διῴκητο, παρῆν δὲ ὁ καιρὸς τοῖς πράγ-
C μασιν ἐπιτάττων βοηθεῖν κινδυνεύουσι, πορείας μὲν
τάχει χρησάμενος ἀθρόως ἐκ Παιόνων ἐν Σύροις
ὤφθης, οὐδὲ τῷ λόγῳ δεῖξαι ῥᾴδιον· ἀρκεῖ δὲ τοῖς
ἐγνωκόσιν ἡ πεῖρα. ὅπως δὲ πρὸς τὴν παρουσίαν
τὴν σὴν ἀθρόως ἅπαντα μεταβαλόντα καὶ μεταστάντα
πρὸς τὸ βέλτιον οὐ μόνον τῶν ἐπικρεμασθέντων ἡμᾶς
ἀπήλλαξε φόβων, ἀμείνους δὲ μακρῷ τὰς ὑπὲρ τῶν
μελλόντων παρέσχεν ἐλπίδας, τίς ἂν ἀρκέσειε τῶν
D ἁπάντων εἰπεῖν; τὰ μὲν τῶν στρατοπέδων, πλησίον
γενομένου μόνον, ἐπέπαυτο τῆς ἀταξίας καὶ μεθει-
στήκει πρὸς κόσμον, Ἀρμενίων δὲ οἱ προσθέμενοι
τοῖς πολεμίοις εὐθὺς μετέστησαν, σοῦ τοὺς μὲν αἰ-
τίους τῆς φυγῆς τῷ τῆς χώρας ἐκείνης ἄρχοντι παρ'
ἡμᾶς ἐξαγαγόντος, τοῖς φεύγουσι δὲ τὴν ἐς τὴν οἰκείαν
κάθοδον ἀδεᾶ παρασκευάσαντος. οὕτω δὲ φιλανθρώπως
τοῖς τε παρ' ἡμᾶς ἀφικομένοις ἄρτι χρησαμένου καὶ
11 τοῖς ἐκ τῆς φυγῆς μετὰ τοῦ σφῶν ἄρχοντος κατεληλυ-
λυθόσι πρᾴως ὁμιλοῦντος, οἱ μέν, ὅτι καὶ πρότερον

4 παντοδαποῦ? Rsk. post παντοδαπῶν add. μεστῶν 6 ὅσα τε ἄλλα Schaef. cf. 10 B et 83 C 7 κατελάμβανεν V] κατελάμβανον 10 πορείας] ὅπως πορείας Schaef., Pet. vero ὅπως μὲν pro ἀθρόως conjecit 16 μακρῷ e V addidi 21 τοὺς μὲν VM] μὲν τοὺς 23 φεύγουσι V] φυγοῦσι

ἀπέστησαν, αὐτοὺς ἀπωλοφύραντο, οἱ δὲ τὴν παροῦσαν τύχην τῆς πρόσθεν ἠγάπων μᾶλλον δυναστείας. καὶ οἱ μὲν φεύγοντες ἔμπροσθεν ἔργῳ σωφρονεῖν ἔφασαν ἐκμαθεῖν, οἱ δὲ τοῦ μὴ μεταστῆναι τῆς ἀμοιβῆς ἀξίας τυγχάνειν. τοσαύτῃ δὲ ἐχρήσω περὶ τοὺς κατελθόντας ὑπερβολῇ δωρεῶν καὶ τιμῆς, ὥστε μηδὲ τοῖς ἐχθίστοις σφῶν εὖ πράττουσι καὶ τὰ εἰκότα τιμω- B μένοις ἄχθεσθαι μηδὲ βασκαίνειν. ταῦτα δὲ ἐν βραχεῖ καταστησάμενος καὶ τοὺς ἐξ Ἀραβίας λῃστὰς ἐπὶ τοὺς πολεμίους ταῖς πρεσβείαις τρέψας, ἐπὶ τὰς τοῦ πολέμου παρασκευὰς ἦλθες, ὑπὲρ ὧν οὐ χεῖρον ἐν βραχεῖ προειπεῖν.

Τῆς γὰρ εἰρήνης τῆς πρόσθεν τοῖς μὲν στρατευομένοις ἀνείσης τοὺς πόνους, τοῖς λειτουργοῦσι δὲ κουφοτέρας (τὰς λειτουργίας) παρασχούσης, τοῦ πολέμου δὲ χρημάτων καὶ σιτηρεσίου καὶ χορηγίας λαμπρᾶς δεομένου, πολὺ δὲ πλέον ἰσχύος καὶ ῥώμης C καὶ τῆς ἐν τοῖς ὅπλοις ἐμπειρίας τῶν στρατευομένων, ὑπάρχοντος δὲ οὐδενὸς σχεδὸν τῶν τοιούτων, αὐτὸς ἐξηῦρες καὶ κατέστησας, τοῖς μὲν (ἐν) ἡλικίᾳ στρατεύεσθαι λαχοῦσιν ἀποδείξας τῶν πόνων μελέτην, παραπλησίαν δὲ τοῖς πολεμίοις ἱππικὴν καταστησάμενος δύναμιν, τῷ πεζῷ δὲ ἐπιτάξας τῶν πόνων ἔχεσθαι· καὶ ταῦτα οὐ ῥήμασι μόνον οὐδὲ ἐξ ἐπιτάγματος, μελετῶν δὲ αὐτὸς καὶ συνασκούμενος καὶ D δεικνύων ἔργῳ τὸ πρακτέον, πολέμων ἐργάτας ἄφνω κατέστησας. χρημάτων δὲ ἐπενόεις πόρους, οὐκ αὔξων τοὺς φόρους οὐδὲ τὰς συντάξεις, καθάπερ Ἀθηναῖοι

1 αὐτοὺς VM 6 τιμῆς (vel potius τιμῶν) Rsk.] τιμῇ 9 ἀρραβίας VM 12 προσειπεῖν VM 15 τὰς λειτουργίας add. Rsk. 20 ἐξηῦρες H] ἐξεῦρες | ἐν ἡλικίᾳ Rsk. et H] ἡλικίᾳ

[redacted]

πρόσθεν, εἰς τὸ διπλάσιον ἢ καὶ ἐπὶ πλέον καταστήσας, ἐμμένων δὲ οἶμαι τοῖς ἀρχαίοις πλὴν εἴ που πρὸς βραχὺ καὶ πρὸς εὔκαιρον ἐχρῆν αἰσθέσθαι δαπανηροτέρων τῶν λειτουργημάτων. ἐν τοσαύτῃ (τε)
22 τοὺς στρατευομένους ἦγες ἀφθονίᾳ, ὡς μήτε ὑβρίζειν τῷ κόρῳ μήτε ὑπὸ τῆς ἐνδείας πλημμελεῖν ἀναγκασθῆναι. ὅπλων δὲ καὶ ἵππων παρασκευὴν καὶ νεῶν τῶν ποταμίων καὶ μηχανημάτων καὶ τῶν ἄλλων ἁπάντων τὸ πλῆθος σιωπῇ κατέχω. ἐπεὶ δὲ τὰ τῆς παρασκευῆς τέλος εἶχε καὶ ἔδει χρῆσθαι τοῖς προρρηθεῖσιν εἰς δέον, ἐξεύγνυτο μὲν ὁ Τίγρης σχεδίᾳ πολλάκις, ἤρθη δὲ ἐπ' αὐτῷ φρούρια, καὶ τῶν πολεμίων οὐ-
B δεὶς ἐτόλμησεν ἀμῦναι τῇ χώρᾳ πορθουμένῃ, πάντα δὲ παρ' ἡμᾶς ἤγετο τἀκείνων ἀγαθά, τῶν μὲν οὐδὲ εἰς χεῖρας ἰέναι τολμώντων, τῶν θρασυνομένων δὲ παρ' αὐτὰ τὴν τιμωρίαν ὑποσχόντων. τὸ μὲν δὴ κεφάλαιον τῶν εἰς τὴν πολεμίαν εἰσβολῶν τοιοῦτον. καθ' ἕκαστον γὰρ ἐπεξιέναι τίς ἂν ἀξίως ἐν βραχεῖ λόγῳ δυνηθείη, τῶν μὲν τὰς συμφορὰς τῶν δὲ τὰς ἀριστείας ἀπαριθμούμενος; τοσοῦτον δὲ ἴσως εἰπεῖν
C οὐ χαλεπόν, ὅτι πολλάκις τὸν ποταμὸν ἐκεῖνον περαιωθεὶς ξὺν τῷ στρατεύματι καὶ πολὺν ἐν τῇ πολεμίᾳ τρίψας χρόνον, λαμπρὸς ἐπανήεις τοῖς τροπαίοις, τὰς διὰ σὲ πόλεις ἐλευθέρας ἐπιὼν καὶ χαριζόμενος εἰρήνην καὶ πλοῦτον, πάντα ἀθρόως τὰ

1 καταστήσας Schaef.] κατέστησας. Delevit Rsk. 3 εὔκαιρον] ἄκαιρον V, unde ἀκαριαῖον conjeci | αἴσθεσθαι V 4 τε add. Schaef. 11 τίγρις V cf. 74 B, at etiam 56 A 62 C 324 C. Πίγρης (librarii errore, opinor, pro Τίγρης) Iuliano tribuitur ab Eustathio ad Dionys. v. 976 12 ἠρέθη V, ἠρέθη M 16 παραυτὰ V 18 γὰρ om. V 19 ἢ τῶν μὲν V 20 ἀριστείας om. V. | ἀριθμούμενος V 24 διὰ σὲ Schaef.] διά σε

ἀγαθά, καὶ τῶν πάλαι ποθουμένων διδοὺς ἀπολαύειν, νίκης κατὰ τῶν βαρβάρων, τροπαίων ἐγειρομένων κατὰ τῆς Παρθυαίων ἀπιστίας καὶ ἀνανδρίας [καὶ δειλίας], ὧν τὸ μὲν ἐπεδείξαντο τὰς σπονδὰς λύσαντες καὶ τὴν εἰρήνην συγχέαντες, τὸ δὲ μὴ τολ- I μῶντες ὑπὲρ τῆς χώρας καὶ τῶν φιλτάτων ἀμύνεσθαι.

Ἀλλ' ὅπως μή τις ὑπολάβῃ με τούτων μὲν ἡδέως μεμνῆσθαι τῶν ἔργων, ὀκνεῖν δὲ ἐκεῖνα, περὶ ἃ καὶ τοῖς πολεμίοις πλεονεκτῆσαι παρέσχεν ἡ τύχη, μᾶλλον δὲ ἡ χώρα τὴν ἐκ τοῦ καιροῦ προσλαβοῦσα ῥοπήν, ὡς αἰσχύνην ἡμῖν, οὐχὶ δὲ ἔπαινον καὶ τιμὴν φέροντα, καὶ ὑπὲρ τούτων πειράσομαι δηλῶσαι διὰ βραχέων, οὐ πρὸς τὸ λυσιτελέστατον ἐμαυτῷ τοὺς λόγους πλάττων, τὴν ἀλήθειαν δὲ ἀγαπῶν ἐν πᾶσιν. 2 ἧς εἴ τις ἑκὼν ἁμαρτάνοι, τὴν ἐκ τοῦ κολακεύειν αἰσχύνην οὐδαμῶς ἐκφεύγει, προστίθησι δὲ τοῖς ἐπαινουμένοις τὸ δοκεῖν μηδ' ὑπὲρ τῶν ἄλλων εὖ ἀκούειν κατὰ τὴν ἀξίαν· ὃ παθεῖν εὐλαβησόμεθα. δείξει δὲ ὁ λόγος αὐτός, εἰ μηδαμοῦ τὸ ψεῦδος πρὸ τῆς ἀληθείας τετίμηκεν. οὐκοῦν εὖ οἶδα, ὅτι πάντες ἂν μέγιστον φήσειαν πλεονέκτημα τῶν βαρβάρων τὸν πρὸ τῶν Σιγγάρων πόλεμον. ἐγὼ δὲ ἐκείνην τὴν μάχην B ἴσα μὲν ἐνεγκεῖν τοῖς στρατοπέδοις τὰ δυστυχήματα, δεῖξαι δὲ τὴν σὴν ἀρετὴν περιγενομένην τῆς ἐκείνων τύχης φαίην ἂν εἰκότως, καὶ ταῦτα στρατοπέδῳ χρησαμένην θρασεῖ καὶ τολμηρῷ καὶ πρὸς τὴν ὥραν καὶ τὴν τοῦ πνίγους ῥώμην οὐχ ὁμοίως ἐκείνοις

3 et 4 καὶ ante δειλίας om. M et fl., quare δειλίας delevit Pet. in ed. fl., ego καὶ δειλίας seclusi 6 ἀμύνασθαι M 9 πλεονεκτῆσαι Rsk. et Wytt.] πλεονεκτεῖσθαι 17 μηδ' H] μήθ' | ἀκούειν εὖ M 21 φήσειαν H] φήσαιεν 23 ἴσα V, ut solet 25 χρησάμενον V. an χρησαμένου? 26 τολμηρῷ Rsk. et H] τόλμῃ. cf. 228 D

*συνήθει. ὅπως δὲ ἕκαστον ἐπράχθη, διηγήσομαι. θέ-
ρος μὲν γὰρ ἦν ἀκμάζον ἔτι, συνήει δὲ ἐς ταὐτὸν*
C *τὰ στρατόπεδα πολὺ πρὸ τῆς μεσημβρίας. ἐκπληττό-
μενοι δὲ οἱ πολέμιοι τὴν εὐταξίαν καὶ τὸν κόσμον
καὶ τὴν ἡσυχίαν, αὐτοὶ δὲ πλήθει θαυμαστοὶ φα-
νέντες, ἤρχετο μὲν οὐδεὶς τῆς μάχης, τῶν μὲν εἰς
χεῖρας ἰέναι πρὸς οὕτω παρεσκευασμένην δύναμιν
ὀκνούντων, τῶν δὲ περιμενόντων ἐκείνους ἄρχειν,
ὅπως ἀμυνόμενοι μᾶλλον ἐν πᾶσιν, οὐχὶ δὲ αὐτοὶ
πολέμου μετὰ τὴν εἰρήνην ἄρχοντες φανεῖεν. τέλος*
D *δὲ ὁ τῆς βαρβαρικῆς ἐκείνης δυνάμεως ἡγεμών, με-
τέωρος ἀρθεὶς ὑπὲρ τῶν ἀσπίδων καὶ καταμαθὼν
τὸ πλῆθος ἐν τάξει, οἷος ἐξ οἵου γέγονε καὶ ποίας
ἀφίει φωνάς; προδεδόσθαι βοῶν καὶ τοὺς ὑπὲρ τοῦ
πολέμου πείσαντας αἰτιώμενος, φεύγειν ᾤετο χρῆναι
διὰ τάχους καὶ τοῦτο μόνον οἱ πρὸς σωτηρίαν ἀρ-
κέσειν, εἰ φθήσεται τὸν ποταμὸν διαβῆναι, ὅσπερ
ἐστὶ τῆς χώρας ἐκείνης πρὸς τὴν ἡμετέραν ὅρος ἀρ-
χαῖος. ταῦτα διανοηθεὶς ἐκεῖνος πρῶτον ἐπὶ πόδα
σημαίνει τὴν ἀναχώρησιν, καὶ κατ᾽ ὀλίγον προστι-*
24 *θεὶς τῷ τάχει τέλος ἤδη καρτερῶς ἔφευγεν, ἔχων
ὀλίγους ἱππέας ἀμφ᾽ αὐτόν, τὴν δύναμιν ἅπασαν
τῷ παιδὶ καὶ τῷ πιστοτάτῳ τῶν φίλων ἐπιτρέψας
ἄγειν. ταῦτα ὁρῶντες τὸ στράτευμα καὶ χαλεπαίνον-
τες, ὅτι μηδεμίαν ὑπέσχον τῶν τετολμημένων δίκην,
ἐβόων ἄγειν ἐπ᾽ αὐτούς, καὶ κελεύοντος μένειν ἀχθό-*

3 *μεσηβρίας* V 4 et 5 *καὶ τὸν κόσμον καὶ τὴν ἡσυχίαν* V] *τὴν ἡσυχίαν καὶ τὸν κόσμον* 6 *οὐδὲ εἷς* V 9 *ἀμυνόμενοι* H] *ἀμυνάμενοι* 12 *ὑπὲρ*] *ἐπὶ*? 14 *ἀφίει* Rsk. et H] *ἀφιεὶς* 19 *πρῶτον* H] *πρῶτος* 20 *προσετίθει* V 25 *μηδὲ μίαν* V | ante *δίκην* Rsk. et H *τὴν* deleverunt 26 *κελεύοντος*] *κελεύοντός σου*?

μενοι μετὰ τῶν ὅπλων ἔθεον ὡς ἕκαστος εἶχε ῥώμης τε καὶ τάχους, ἄπειροι μὲν ὄντες αὐτοὶ τέως τῆς σῆς στρατηγίας, εἰς δὲ τὴν ἡλικίαν ὁρῶντες B ἄμεινον αὐτῶν τὸ συμφέρον κρίνειν ἧττον ἐπίστευον· καὶ τὸ πολλὰς συγκατειργάσθαι τῷ πατρὶ τῷ σῷ μάχας καὶ κρατῆσαι πανταχοῦ τῷ δοκεῖν ἀηττήτους εἶναι συνηγωνίζετο. τούτων δὲ οὐδενὸς ἔλαττον τὸ παρεστὼς Παρθυαίων δέος ἐπῆρεν ὡς οὐκ ἀγωνισομένους πρὸς τοὺς ἄνδρας μόνον, ἀλλὰ καὶ πρὸς τὴν χώραν αὐτὴν καί, εἴ τι μεῖζον ἔξωθεν προσπίπτοι, καὶ τούτου πάντως κρατήσοντας. ταχέως οὖν ἑκατὸν μεταξὺ στάδια δραμόντες ἐφειστήκεσαν ἤδη Παρ- C θυαίοις εἰς τὸ τεῖχος καταπεφευγόσιν, ὃ πρότερον ἤδη πεποίητο σφίσιν ὥσπερ στρατόπεδον. ἑσπέρα δὲ ἦν λοιπὸν καὶ ὁ πόλεμος αὐτόθεν ξυνερρήγνυτο. καὶ τὸ μὲν τεῖχος αἱροῦσιν εὐθέως τοὺς (ἀμυνομένους) ὑπὲρ αὐτοῦ κτείναντες· γενόμενοι δὲ εἴσω τῶν ἐρυμάτων πολὺν μὲν ἠρίστευον χρόνον, ὑπὸ δὲ τοῦ δίψους ἀπειρηκότες ἤδη καὶ λάκκοις ὕδατος ἐντυχόντες ἔνδον, τὴν καλλίστην νίκην διέφθειραν καὶ τοῖς πολεμίοις παρέσχον ἀναμαχέσασθαι τὸ πταῖσμα. τοῦτο D τέλος τῆς μάχης ἐκείνης γέγονε, τρεῖς μὲν ἢ τέτταρας ἀφελομένης τῶν παρ' ἡμῖν, Παρθυαίων δὲ τὸν ἐπὶ

4 αὐτῶν VM 6 τὸ δοκεῖν V | ἀηττήτους H] ἀήττητος V, ἀήττητοι v 8 παρεστὼς Παρθυαίων δέος V] Παρθυαίων δέος παρεστώς. Ego malim · Παρθυαίοις | ὡς οὐκ Schaef.] οὐχ ὡς | ἀγωνιουμένους Cobetus 10 καὶ H] κἂν | εἴ τι] ἔτι V | προσπίπτον V 11 κρατήσοντας M] κρατήσοντος 12 δραμόντες] διαδραμόντες? 14 πεποίητο] Immo ἐπεποίητο 15 αὐτόθι V 16 ἀμυνομένους add. H, τοὺς ὑπὲρ αὐτοῦ μαχομένους volebat Rsk. 17 κτείναντες καὶ ἀμύναντες VM 19 et 20 ἐντυχόντες ἔνδον V] ἔνδον ἐντυχόντες 21 et 22 τοῦτο τὸ τέλος Schaef. 22 τῆς μάχης ἐκείνης V] ἐκείνης τῆς μάχης

τῇ βασιλείᾳ τρεφόμενον, ἁλόντα πρότερον, καὶ τῶν ἀμφ' αὐτὸν παμπληθεῖς ξυνδιαφθειράσης. τούτοις δὲ ἅπασι δρωμένοις ὁ μὲν τῶν βαρβάρων ἡγεμὼν οὐδὲ ὄναρ παρῆν· οὐδὲ γὰρ ἐπέσχε τὴν φυγὴν πρὶν ἢ κατὰ νώτου τὸν ποταμὸν ἐποιήσατο· αὐτὸς δὲ διέμενες ἐν τοῖς ὅπλοις δι' ὅλης ἡμέρας καὶ νυκτὸς ἁπάσης, συμμετέχων μὲν τοῖς κρατοῦσι τῶν ἀγωνισμάτων, τοῖς πονοῦσι δὲ ἐπαρκῶν διὰ ταχέων. ὑπὸ δὲ τῆς ἀνδρείας καὶ τῆς εὐψυχίας εἰς τοσοῦτον τὸν ἀγῶνα μετέστησας, ὥστε αὐτοὺς μὲν ἐπὶ τὴν αὐτῶν τῆς ἡμέρας ἐπιλαβούσης ἀσμένως ἀποσώζεσθαι, ἀναχωρεῖν δὲ ἐκ τῆς μάχης, ἑπομένου σου, καὶ τοὺς τραυματίας· B οὕτω τὸ δέος πᾶσιν ἀνῆκας τῆς φυγῆς. ποῖον οὖν ἥλω φρούριον; τίς δὲ ἐπολιορκήθη πόλις; τίνος δὲ ἀποσκευῆς οἱ πολέμιοι κρατήσαντες ἔσχον ἐφ' ὅτῳ σεμνύνωνται μετὰ τὸν πόλεμον; ἀλλ' ἴσως, φήσει τις, τὸ μηδέποτε τῶν πολεμίων ἧττον ἔχοντα ἀπελθεῖν εὐτυχὲς καὶ εὔδαιμον ἡγεῖ, τὸ δὲ ἀντιστῆναι τῇ τύχῃ ῥωμαλεώτερον [, ὃ] καὶ μείζονος ἀρετῆς ὑπάρχει σημεῖον. τίς μὲν γὰρ ἀγαθὸς κυβερνήτης ἐν εὐδίᾳ τὴν ναῦν κατευθύνων, γαλήνης ἀκριβοῦς κατεC χούσης τὸ πέλαγος; τίς δὲ ἡνίοχος ἅρματος δεξιὸς ἐν ὁμαλῷ καὶ λείῳ χωρίῳ εὐπειθεῖς καὶ πρᾴους καὶ ταχεῖς ἵππους ζευξάμενος, εἶτα ἐν τούτοις ἐπιδεικνύ-

2 ξυνδιαφθειράσης V] συνδιαφθ. 5 δὲ ἔμενες V 7 ἀγωνισμάτων Pet.] ἀγωνιστῶν 9 et 10 εἰς τοσοῦτο τὸν ἀγῶνα μετέστησας Wytt.] εἰς τοσοῦτον ἀγῶνα κατέστησας 10 ὥστε αὐτοὺς H] ὥστε [αν] τοὺς V, ὥστε τοὺς v 11 ἀσμένους H | ἀποσώζεσθαι VM] ὑποσώζεσθαι 13 πᾶσιν V] ἅπασιν 14 ἐξεπολιορκήθη H 16 σεμνύνωνται pet.] σεμνύνονται. cf. 28 D 18 ἡγεῖ, τὸ δὲ Cobetus] ἡγεῖτο δὲ VM, ἡγῇ, τὸ δὲ v 19 ὃ del. Rsk. 24 ἀποδεικνύμενος V

μενος τὴν τέχνην; πόσῳ δὲ ἀμείνων νεὼς μὲν ἰθυν-
τὴρ ὁ καὶ τὸν μέλλοντα χειμῶνα προμαθὼν καὶ
προαισθόμενος καὶ πειραθείς γε τοῦτον ἐκκλῖναι, εἶτα
δι' ἀσδηποτοῦν αἰτίας ἐμπεσὼν καὶ διασώσας ἀπαθῆ
τὴν ναῦν αὐτῷ φόρτῳ; ἅρματος δ' ἐπιστατὴς ὁ καὶ
πρὸς χωρίων ἀγωνιζόμενος τραχύτητα καὶ τοὺς ἵπ- D
πους μετατιθεὶς ἅμα καὶ βιαζόμενος, ἤν τι πλημμε-
λῶσιν; ὅλως δὲ οὐδεμίαν ἄξιον τέχνην μετὰ τῆς
τύχης ἐξετάζειν, ἀλλ' αὐτὴν ἐφ' αὑτῆς σκοπεῖν. οὐδὲ
στρατηγὸς ἀμείνων ὁ Κλέων Νικίου, ἐπειδὴ τὰ περὶ
τὴν Πύλον ηὐτύχησεν, οὐδ' ἄλλος οὐδεὶς τῶν τύχῃ
μᾶλλον ἢ γνώμῃ κρατούντων. ἐγὼ δὲ εἰ μὴ καὶ τὴν
τύχην τὴν σὴν ἀμείνω καὶ δικαιοτέραν τῆς τῶν ἀν-
τιταξαμένων, μᾶλλον δὲ τῆς ἁπάντων ἀνθρώπων
κρατίστην φήσαιμι, ἀδικεῖν ἂν εἰκότως δοκοίην, τὴν 26
μὴ παρασχοῦσαν τοῖς πολεμίοις αἰσθέσθαι τὸ πλεο-
νέκτημα. χρὴ γὰρ οἶμαι τὸν δικαίως ὑπὲρ τῶν ῥη-
θέντων κρίνοντα τὸ μὲν ἐλάττωμα τῇ τοῦ πνίγους
ἀνανταγωνίστῳ ῥώμῃ λογίζεσθαι, τὸ δὲ εἰς ἴσον
καταστῆσαι τοὺς πολεμίους ταῖς συμφοραῖς τῆς σῆς
ἀρετῆς ἔργον ὑπολαβεῖν, τὸ δὲ τῶν μὲν οἰκείων
αἰσθέσθαι συμφορῶν, ἀγνοῆσαι δὲ τὰ κατορθώματα
τῆς ἀγαθῆς τύχης ἔργον λογίζεσθαι.

Ἀλλ' ὅπως μὴ μακρότερα περὶ τούτων λέγων τὸν B

1 ἀμείνων Pet.] ἄμεινον | ἰθυντὴρ ὁ Rsk. et Schaef.] ἰθυντῆρος VM, ἰθυντὴρ ὃς v 2 προμαθὼν Pet.] προμαθεῖν 3 πειραθείς VM] πειρασθείς | τούτων V 4 διασδηποτοῦν V] δι' ἃς δήποτε οὖν 5 δὲ VM 7 θαμὰ conjecit Rsk. 8 οὐδὲ μίαν VM 9 ἐφ' αὑτῆς V] ἐφ' αὑτῇ 10 τὰ περὶ VM] τὸ περὶ 11 ἠτύχησεν V | οὐδὲ εἷς V 12 μᾶλλον οὐδ' ἄλλ' ὅσον ἢ γν. κρ. V 15 κρατίστην deleverim | ἂν add. VM 16 μὴ V] οὐ 19 ἶσον M, ut solet 20 ταῖς] ταῖς σαῖς Rsk. 24 μακρότερα V] μακρότερον

ὑπὲρ τῶν μειζόνων καιρὸν ἀναλώσω, πειράσομαι λοιπὸν τὸ μετὰ τοῦτο περιστὰν ἡμᾶς τῶν πραγμάτων πλῆθος . . . . καὶ τῶν κινδύνων τὸ μέγεθος, καὶ ὅπως ἅπασιν ἀντισχὼν τυράννων μὲν πλῆθος, βαρβάρων δὲ ἐτρέψω δυνάμεις. ἦν μὲν γὰρ ὁ χειμὼν ἐπ' ἐξόδοις ἤδη, ἕκτον που μάλιστα μετὰ τὸν πόλεμον ἔτος, οὗ μικρῷ πρόσθεν ἐμνήσθην, ἧκε δὲ
C ἀγγέλλων τις, ὡς Γαλατία μὲν συναφεστῶσα τῷ τυράννῳ ἀδελφῷ τῷ σῷ ἐβούλευσέ τε καὶ ἐπετέλεσε τὸν φόνον, εἶτα ὡς Ἰταλία καὶ Σικελία κατείληπται, τὰ δὲ ἐν Ἰλλυριοῖς στρατόπεδα ταραχωδῶς ἔχει καὶ βασιλέα σφῶν ἀπέδειξε τὸν τέως στρατηγὸν ἀντισχεῖν ἐθέλοντα πρὸς τὴν ἄμαχον δοκοῦσαν τῶν τυράννων φοράν. ἱκέτευε δὲ αὐτὸς οὗτος χρήματα πέμπειν καὶ δύναμιν τὴν βοηθήσουσαν, σφόδρα ὑπὲρ αὐτοῦ δεδιὼς καὶ τρέμων, μὴ πρὸς τῶν τυράννων κρατηθείη.
D καὶ τέως μὲν ἐπηγγέλλετο τὰ προσήκοντα δράσειν, οὐδαμῶς αὐτὸν ἀξιῶν τῆς ἀρχῆς, ἐπίτροπον δὲ οἶμαι πιστὸν καὶ φύλακα παρέξειν ἐπαγγελλόμενος· ἔμελλε δὲ οὐκ εἰς μακρὰν ἄπιστος φανεῖσθαι καὶ δίκην ὑφέξειν καὶ φιλάνθρωπον. ταῦτα πυθόμενος οὐκ ᾤου δεῖν ἐν ῥᾳστώνῃ πολλῇ τὸν χρόνον ἀναλίσκειν μάτην. ἀλλὰ τὰς μὲν ἐπὶ τῇ Συρίᾳ πόλεις μηχανημάτων καὶ φρουρᾶς καὶ σίτου καὶ τῆς ἄλλης παρασκευῆς [ἁπάσης] ἐμπλήσας, καὶ ἀπιὼν ἀρκέσειν τοῖς

3 πλῆθος] Lacunam animadvertit Pet., διηγεῖσθαι vel διεξιέναι excidisse putat Rsk. 6 ἕκτον] Vid. Harduin. ad Themist. p. 499 ed. Dind. 7 μικρῷ M] μικρὸν 9 τἀδελφῷ? | ἐπετέλεσε V] ἐτέλεσε 12 et 13 ἀντισχεῖν τὸν ἐθέλοντα M, ἀντισχεῖν οὐκ ἐθέλοντα Pet. in ed. fl. 15 βοηθήσουσαν V] βοηθοῦσαν | αὐτοῦ VM 18 αὐτὸν VM 21 ἔμελλε post ὑφέξειν repetit V | καὶ] καίτοι Rsk., καὶ del. Pet. in ed. fl. 23 τὰς μὲν V] τὰς | τῇ Συρία VM] Συρίᾳ 25 ἁπάσης om. V

τῇδε προσεδόκησας, αὐτὸς δὲ ἐπὶ τοὺς τυράννους 27
ὁρμᾶν ἐβουλεύου. Πέρσαι δὲ ἐξ ἐκείνου τὸν καιρὸν
τοῦτον παραφυλάξαντες, ὡς ἐξ ἐφόδου τὴν Συρίαν
ληψόμενοι, πᾶσαν ἐξαναστήσαντες ἡλικίαν καὶ φύσιν
καὶ τύχην ἐφ' ἡμᾶς ὥρμηντο, ἄνδρες, μειράκια,
πρεσβῦται καὶ γυναικῶν πλῆθος καὶ θεραπόντων, οὐ
μόνον τῶν πρὸς τὸν πόλεμον ὑπουργιῶν χάριν, ἐκ
περιουσίας δὲ πλεῖστον ἑπόμενον. διενοοῦντο γὰρ
ὡς καὶ τὰς πόλεις καθέξοντες καὶ τῆς χώρας ἤδη B
κρατήσαντες κληρούχους ἡμῖν ἐπάξουσι. κενὰς δὲ
ἀπέφηνεν αὐτοῖς τὰς προσδοκίας τῆς παρασκευῆς
τῆς σῆς τὸ μέγεθος. ἐπειδὴ γὰρ ἐς πολιορκίαν κατέστησαν,
ἐπετειχίζετο μὲν ἡ πόλις κύκλῳ τοῖς χώμασιν,
ἐπέρρει δὲ ὁ Μυγδόνιος πελαγίζων τὸ περὶ τῷ τείχει
χωρίον, καθάπερ ὁ Νεῖλος, φασί, τὴν Αἴγυπτον.
προσήγετο δὲ ἐπὶ νεῶν ταῖς ἐπάλξεσι τὰ μηχανήματα,
καὶ ἐπιπλεῖν ἄλλοι διενοοῦντο τοῖς τείχεσιν, ἄλλοι δὲ C
ἔβαλλον ἀπὸ τῶν χωμάτων τοὺς ἀμυνομένους ὑπὲρ
τῆς πόλεως. οἱ δὲ ἐκ τῶν τειχῶν ἤμυνον καρτερῶς
τῇ πόλει. μεστὰ δὲ ἦν ἅπαντα σωμάτων καὶ ναυαγίων
καὶ ὅπλων καὶ βελῶν, τῶν μὲν ἄρτι καταδυομένων,
τῶν δέ, ἐπειδὴ τὸ πρῶτον ὑπὸ τῆς βίας
κατενεχθέντα κατέδυ, κουφιζομένων ὑπὸ τοῦ κύματος.
ἀσπίδες μὲν ἐπενήχοντο βαρβάρων παμπληθεῖς καὶ
νεῶν ἕρματα συντριβομένων ἐπ' αὐταῖς τῶν μηχανημάτων.
βελῶν πλῆθος ἐπινηχόμενον μικροῦ δεῖν D

6 πρεσβῦται Schaef.] πρεσβύται 9 καὶ πόλεις V 10 ἐπάξουσι M, ἐπαύξουσι V, ἐπάξουσιν v, ἐπάξοντες Wytt. Malim ἐπάγειν 12 ἐς VM] εἰς 13 περιετειχίζετο H 14 ὁ μυγδόνιος VM (μυγδώνιος M)] Μυγδόνιος | τὸ] τῷ τὸ V 17 ἐπὶ πλεῖον V 25 ἕρματα] σέλματα Rsk. | „Sic distinguendum et legendum videtur: συντριβομένων. ἐπ' αὐταῖς δὲ μηχανημάτων καὶ βελῶν πλῆθος". Rsk.

ἐπεῖχεν ἅπαν τὸ μεταξὺ τοῦ τείχους καὶ τῶν χωμά-
των. ἐτέτραπτο δὲ ἡ λίμνη πρὸς λύθρον, καὶ κύκλῳ
τὸ τεῖχος ἐπήχουν οἰμωγαὶ βαρβάρων ὀλλύντων μὲν
οὐδαμῶς, ἀπολλυμένων δὲ πολυτρόπως καὶ τιτρωσκο-
μένων ποικίλοις τραύμασι. τίς ἂν ἀξίως τῶν δρω-
μένων διηγοῖτο; πῦρ μὲν ἐνίετο ταῖς ἀσπίσιν, ἐξέ-
πιπτον δὲ τῶν ὁπλιτῶν ἡμίκαυτοι πολλοί, ἄλλοι δὲ
ἀποδιδράσκοντες τὴν φλόγα τὸν ἐκ τῶν βελῶν οὐκ
28 ἀπέφευγον κίνδυνον· ἀλλ' οἱ μὲν ἔτι νηχόμενοι τὰ
νῶτα τρωθέντες ἐς βυθὸν κατεδύοντο, οἱ δὲ ἐξαλ-
λόμενοι τῶν μηχανημάτων πρὶν ὕδατος ἅψασθαι
βληθέντες οὐ σωτηρίαν, κουφότερον δὲ ηὗροντο θά-
νατον. τοὺς δὲ οὐδὲ νεῖν εἰδότας ἀκλεέστερον τῶν
πρόσθεν ἀπολλυμένους τίς ἂν ἀξιώσειεν ἀριθμοῦ καὶ
μνήμης; ἐπιλείψει με, καθ' ἕκαστον εἰ πᾶσιν ἐπεξελ-
θεῖν βουλοίμην, ὁ χρόνος· τὸ κεφάλαιον δὲ ἀκούειν
B ἀπόχρη. ταύτην ἥλιος ἐπεῖδε τὴν μάχην ἄγνωστον
ἀνθρώποις τὸν ἔμπροσθεν χρόνον· ταῦτα τὴν πα-
λαιὰν ἀλαζονείαν ἤλεγξε τῶν Μήδων τῦφον ὄντα
κενόν· ταῦτα τῆς Ξέρξου παρασκευῆς ἀπιστουμένης
τέως τὸ μέγεθος, εἰ τοσαύτη γενομένη τέλος ἔσχεν
αἰσχρὸν καὶ ἐπονείδιστον, ἐναργέστερον τῶν δοκούν-
των εἶναι γνωρίμων ἡμῖν κατέστησεν. ὁ μὲν ἐπει-
ρᾶτο πλεῖν καὶ πεζεύειν ἀπεναντίον τῇ φύσει μαχό-
C μενος καί, ὥσπερ οὖν ᾤετο, κρατῶν ἠπείρου φύσεως

2 ἐτέτραπτο H] τέτραπτο 3 περιήχουν H 5 τρώμασι V 6 διηγοῖτο VM] διηγεῖτο | ἐνίετο Rsk. et Wytt.] ἵετο (ἴετο VM) 7 ἡμίκαυτοι V] ἡμίκαυτοι λοιπὸν 9 ἀλλ' οἱ VM] ἄλλοι 10 ἐς VM] εἰς 12 ηὕροντο H] εὗρον τὸν V, εὕραντο v 13 οὐδὲ νεῖν εἰδότας H] οὐδὲν εἰδότας v, οὐδὲν ἰδόντας M 15 et 16 ἐπεξελθεῖν H] ἐπελθεῖν 23 κατέστησεν Schaef.] κατέστησαν 24 ἀπεναντίον V] ἀπεναντίας 24 et 25 μαχόμενος add. VM 25 καί, ὥσπερ οὖν ᾤετο Perizonius ad Aeliani V. H. II, 14] ὥσπερ οὖν ᾤετο, καὶ

καὶ θαλάττης ἀνδρὸς Ἕλληνος ἡττᾶτο σοφίας καὶ ῥώμης στρατιωτῶν οὐ τρυφᾶν μεμελετηκότων οὐδὲ δουλεύειν, ἀλλ' ἐλευθέρως ἄρχεσθαι καὶ πονεῖν εἰδότων. ὁ δὲ ταῖς παρασκευαῖς ἐκείνου καταδεέστερος, ἔμπληκτος δὲ μᾶλλον καὶ τῇ μανίᾳ τοὺς Ἀλωάδας ὑπερβαλλόμενος μόνον οὐχὶ τὸ πλησίον ὄρος ἐγνωκὼς ἀμφικαλύψαι τῇ πόλει, ἐπαφιεὶς δὲ ποταμῶν ῥεύματα καὶ τὰ τείχη διαλύσας οὐδὲ ἀτειχίστου τῆς D
πόλεως περιγενόμενος ἔσχεν ἐφ' ὅτῳ σεμνύνηται, καθάπερ ὁ Ξέρξης ταῖς Ἀθήναις ἐμβαλὼν τὴν φλόγα. ἐπανῄει δὲ τεττάρων μηνῶν ἀναλώσας χρόνον μυριάσι πολλαῖς ἧττον ἀπάγων τὸ σράτευμα, καὶ τὴν ἡσυχίαν ἠγάπησεν ὁ πρόσθεν ἀφόρητος δοκῶν, τὴν σὴν ἀσχολίαν καὶ τὴν τῶν παρ' ἡμῖν πραγμάτων ταραχὴν ὥσπερ ἔρυμα τῆς αὑτοῦ προβαλλόμενος σωτηρίας. ταῦτα καταλιπὼν ἐπὶ τῆς Ἀσίας τρόπαια καὶ 29
νίκας, ἐπὶ τὴν Εὐρώπην ἀκμῆτας ἦγες τὸ στράτευμα, τὴν οἰκουμένην ἅπασαν ἐμπλῆσαι τροπαίων ἐγνωκώς. ἐμοὶ δὲ ἤρκει τὰ πρόσθεν ῥηθέντα, εἰ καὶ μηδὲν ἔτι περὶ σοῦ λέγειν εἶχον σεμνότερον, πρὸς τὸ πάντων ἀποφῆναί σε τῶν ἔμπροσθεν τῆς αὐτῆς σοι μετασχόντων τύχης συνέσει καὶ ῥώμῃ κρατοῦντα. τὸ γὰρ ἀπαθῶς ὤσασθαι μὲν τὴν Περσῶν δύναμιν, οὐ πόλιν οὐδὲ φρούριον, ἀλλ' οὐδὲ στρατιώτην τῶν ἐκ καταλόγου προέμενον, πολιορκίᾳ δὲ τέλος ἐπιθεῖ- B
ναι λαμπρὸν καὶ οἷον οὔπω πρόσθεν ἠκούσαμεν, τίνι χρὴ τῶν ἔμπροσθεν παραβαλεῖν ἔργων; περιβόητος γέγονεν ἡ Καρχηδονίων ἐν τοῖς δεινοῖς τόλμα, ἀλλ'

7 τῇ πόλει om. V 8 τείχη V] χείλη 9 σεμνύνοιται M, σεμνύνοηται fl. Hoc loco σεμνύνοιτ' ἂν et 25 B σεμνύνοιντ' ἂν malim 15 αὐτοῦ VM 20 περὶ σοῦ VM] περί σου 22 μετεχόντων M 24 et 25 τῶν ἐκ VM] τὸν ἐκ

ἐτελεύτησεν εἰς συμφοράς· λαμπρὰ τὰ περὶ τὴν Πλαταιέων πολιορκίαν γενόμενα, ἐχρήσαντο δὲ οἱ δείλαιοι γνωριμώτερον τοῖς δυστυχήμασι. τί χρὴ Μεσσήνης καὶ Πύλου μεμνῆσθαι, οὔτε ἀγωνισαμένων
C καρτερῶς οὔτε ἁλόντων ξὺν βίᾳ; Συρακούσιοι δὲ τὸν σοφὸν ἐκεῖνον ἀντιτάξαντες ταῖς παρασκευαῖς τῆς ἡμετέρας πόλεως καὶ τῷ καλῷ κἀγαθῷ στρατηγῷ τί πλέον ὤναντο; οὐχ ἑάλωσαν μὲν τῶν ἄλλων αἴσχιον, ἐσώζοντο δὲ καλὸν ὑπόμνημα τῆς τῶν ἑλόντων πρᾳότητος; Ἀλλ' εἰ πάσας ἐξαριθμεῖσθαι τὰς πόλεις βουλοίμην, αἳ πρὸς τὰς ὑποδεεστέρας οὐ κατήρκεσαν παρασκευάς, πόσας οἴει μοι βίβλους ἀρκέσειν; τῆς Ῥώμης δὲ ἴσως ἄξιον μνησθῆναι πάλαι ποτὲ χρησα-
D μένης τύχῃ τοιαύτῃ, Γαλατῶν οἶμαι καὶ Κελτῶν ἐς ταὐτὸ πνευσάντων καὶ φερομένων ἐπ' αὐτὴν καθάπερ χειμάρρους ἐξαίφνης. κατέλαβον μὲν γὰρ τὸν λόφον ἐκεῖνον, οὗ τὸ τοῦ Διὸς ἀφίδρυται βρέτας· γέρροις δὲ καί τισι τοιούτοις οἱονεὶ τείχει φραξάμενοι, πολυπραγμονούντων οὐδὲν οὐδὲ προσιέναι τῶν πολεμίων βίᾳ τολμώντων, ἐκράτησαν. ταύτῃ παραβαλεῖν ἄξιον
30 τῇ πολιορκίᾳ τὴν ἔναγχος τῷ τέλει τῆς τύχης, ἐπεὶ τοῖς γε ἔργοις οὐδεμιᾷ τῶν ὅσαι πάλαι γεγόνασι. τίς γὰρ ἔγνω κυκλουμένην μὲν ὕδασι [τὴν] πόλιν, λόφοις δὲ ἔξωθεν καθάπερ δικτύοις περιβληθεῖσαν, καὶ

3 et 4 μεσήνης VM 5 καρτερῶς VM] κρατερῶς | συρρακούσιοι VM. Συρακόσιοι Iulianus videtur scripsisse 10 et 11 βουλόμενος V, fortasse recte, modo antea ἀλλὰ pro ἀλλ' εἰ scribatur. Similes loci sunt 19 C et 200 B 14 ἐς VM] εἰς 16 χειμάρρους Wytt.] χειμάρρου (χείμαρρον M). Χειμάρρους scripsi, ut hiatus tollatur 18 καί τισι VM] καὶ τοῖς. cf. 40 A | φραξάμενοι V] φραττόμενοι 18 et 19 πολυπραγμονοῦντες Rsk. 22 οὐδεμιᾷ Rsk. et H] οὐδὲ μιᾷ M, οὐδὲ μία V, οὐδεμία v, οὐδὲ βίᾳ fl. 23 ἔγνω VM] ἔγνωκε | κεκυκλωμένην Pet. in ed. fl. | τὴν Rsk. delendum esse censet

ποταμὸν ἐπαφιέμενον οἱονεὶ μηχάνημα, συνεχῶς ῥέοντα καὶ προσρηγνύμενον τοῖς τείχεσι, τάς τε ὑπὲρ τῶν ὑδάτων μάχας καὶ ὅσαι περὶ τῷ τείχει κατενεχθέντι γεγόνασιν. ἐμοὶ μὲν οὖν, ὅπερ ἔφην, ἀπόχρη καὶ ταῦτα· τὰ λειπόμενα δέ ἐστι μακρῷ σεμνότερα. καὶ τυχὸν οὐδαμῶς εὔλογον ἅπαξ ἑλόμενον ἁπάντων B ἐς δύναμιν μνησθῆναι τῶν σοι πραχθέντων, ἀκμαζουσῶν ἔτι τῶν πράξεων, ἀφεῖναι τὴν διήγησιν. ὅσα μὲν οὖν ἔτι τοῖς ἔργοις προσκαθήμενος, ὧν μικρῷ πρόσθεν ἐμνήσθην, περὶ τὴν Εὐρώπην διῴκησας, πρεσβείας πέμπων καὶ ἀναλίσκων χρήματα καὶ στρατόπεδα τὰ προσκαθήμενα τοῖς Σκύθαις ἐν Παιονίᾳ ἐκπέμπων, τοῦ μὴ κρατηθῆναι τὸν πρεσβύτην ὑπὸ τοῦ τυράννου προνοῶν, πῶς ἄν τις ἐν βραχεῖ λόγῳ παραστῆσαι δύναιτο καὶ πάνυ σπουδάζων; ἐπεὶ δέ, C ἤδη σου πρὸς τὸν πόλεμον ὡρμημένου, οὐκ οἶδα παρ' ὅτου δαιμόνων ἐξαιρεθεὶς τὸν νοῦν καὶ τὰς φρένας ὁ τέως πιστὸς μενεῖν φύλαξ ἐπαγγελλόμενος καὶ χρήμασι καὶ στρατοπέδοις καὶ τοῖς ἄλλοις ἅπασιν ὑπὸ σοῦ περισωζόμενος εἰρήνην ὡμολόγησε τῷ πάντων ἀνθρώπων ἀνοσιωτάτῳ καὶ πολεμίῳ κοινῇ μὲν ἁπάντων, ὁπόσοις εἰρήνης μέλει καὶ τὴν ὁμόνοιαν ἐκ παντὸς στέργουσιν, ἰδίᾳ δὲ σοὶ καὶ πλέον τῶν D ἄλλων· οὔτε ἔδεισας τῆς παρασκευῆς τὸ μέγεθος οὔτε ἀπίστων ἀνδρῶν ξυμμαχίαν πλέον ὑπέλαβες τῆς ἔμφρονος γνώμης. ἐγκαλῶν δέ, ὡς εἰκός, τῷ μὲν ἀπιστίαν, τῷ δὲ πρὸς ταύτῃ πράξεων ἐναγῶν καὶ παρα-

3 περὶ V] παρὰ. Vid. 27 B 62 C 66 C 74 C 5 ἐστι VM] ἔτι 7 ἐς VM] εἰς | ἐς δύναμιν ἁπάντων V | σοὶ M 18 μενεῖν H] μένειν 20 ὑπὸ σοῦ VM] ὑπό σου 23 σοὶ Schaef.] σοι v, σοῦ Rsk., quo admisso addendum ἢ post πλέον 25 πλέον] πλέον ἔχειν? 25 et 26 εὔφρονος V 27 ἐναγῶν] αἰνῶν V

νόμων τολμήματα, τὸν μὲν εἰς δίκην καὶ κρίσιν ἐπὶ τῶν στρατοπέδων προυκάλεις, τοῦ δὲ κριτὴν ὑπελάμβανες εἶναι τὸν πόλεμον. ἀλλ' ἐπειδὴ πρῶτον ὁ
81 καλὸς καὶ συνετὸς ἀπήντα πρεσβύτης, εὐχερέστερον παιδαρίου τινὸς μετατιθέμενος τὰ δόξαντα καὶ ὧν εὖ πάθοι δεόμενος μετὰ τὴν χρείαν ἐπιλήσμων· παρῆν δὲ ἄγων ὁπλιτῶν φάλαγγας καὶ τάξεις ἱππέων, ὡς, εἰ μὴ πείθοι, βιασόμενός (σε) ὀπίσω πάλιν ἀπιέναι τὴν αὐτὴν ἄπρακτον· οὐδὲν ἐκπλαγείς, ὅτι τὸν σύμμαχον καὶ στρατηγὸν μενεῖν ἐπαγγελλόμενον πολέμιον εἶδες ἐξ ἴσης ἄρχειν ἐθέλοντα, καίτοι τῷ πλήθει τῶν
B στρατευμάτων ἐλαττούμενος, ἐπεὶ μὴ πάντες εἵποντο, πρὸς πλήθει κρατοῦντα διαγωνίζεσθαι τολμηρὸν μὲν ἴσως, σφαλερὸν δὲ ἄλλως ὑπολαβὼν καὶ κρατήσαντι τῇ μάχῃ διὰ τὸν ἐφεδρεύοντα τοῖς καιροῖς καὶ τοῖς πράγμασιν ἄγριον τύραννον, ἐβουλεύσω καλῶς μόνον εἶναι σὸν ἐθέλων τὸ κατόρθωμα, καὶ παρῄεις ἐπὶ τὸ βῆμα μετὰ τοῦ τέως συνάρχοντος· συνῄει δὲ ὁπλίτης δῆμος στίλβων τοῖς ὅπλοις, τὰ ξίφη γυμνὰ
C καὶ τὰ δόρατα προτείνοντες, δειλῷ μὲν φρικῶδες καὶ δεινὸν θέαμα, εὐψύχῳ δὲ καὶ θαρραλέῳ καὶ οἷος αὐτὸς γέγονας ὄφελος γενναῖον. οὐκοῦν ἐπειδὴ πρῶτον ἤρξω τῶν λόγων, σιγὴ μὲν ἐπέσχε, πρὸς τὴν ἀκοὴν ὡρμημένων πάντων, τὸ στράτευμα· δάκρυα δὲ προυχεῖτο πολλοῖς, καὶ ἐς τὸν οὐρανὸν τὰς χεῖρας ὤρεγον, σιγῇ καὶ ταῦτα δρῶντες, ὡς μήτις αἴσθηται.

2 προυκάλεις H] προεκάλεις 5 τινὸς V] παντὸς 8 σε addidit H 9 ἄπρακτος M | τὸν] τὸ V 10 μενεῖν H] μένειν | ἐπαγγελλόμενος V 12 ἐλαττούμενον VM 14 ἄλλως] πάντως? cf. 222 A 353 C | κρατήσας V 15 τῇ μάχῃ V] τὴν μάχην 17 παρῄεις Rsk. et Wytt.] παριεὶς 22 οὐκοῦν V] οὐκ οὖν 25 πολλοῖς VM] τοῖς πολλοῖς | ἐς VM] εἰς 26 μήτις VM] μηδεὶς

τὴν εὔνοιαν δὲ οἱ μὲν ἐνεδείκνυντο (καὶ) διὰ τῆς ὄψεως, πάντες δὲ τῷ σφόδρα ὡρμῆσθαι τῶν λόγων ἀκούειν. ἀκμαζούσης δὲ τῆς δημηγορίας συνενθουσιῶντες D τῷ λόγῳ πάντες ἐπεκρότουν, εἶτα αὖθις ἀκούειν ἐπιθυμοῦντες ἡσύχαζον. τέλος δὲ ὑπὸ τῶν λόγων ἀναπειθόμενοι (σὲ) μόνον ἐκάλουν βασιλέα, μόνον ἄρχειν ἠξίουν ἁπάντων, ἡγεῖσθαι σφῶν ἐκέλευον ἐπὶ τὸν πολέμιον, ἀκολουθήσειν ὡμολόγουν, ἀπολαμβάνειν ἠξίουν τῆς ἀρχῆς τὰ γνωρίσματα. σὺ δὲ οὐδὲ τὴν χεῖρα προσάγειν ᾤου δεῖν οὐδὲ ἀφελέσθαι ξὺν βίᾳ· ὁ δὲ ἄκων μὲν καὶ μόλις, εἴξας δὲ ὅμως ὀψέ ποτε, φασί, τῇ Θετταλικῇ πειθανάγκῃ, 32 προσῆγέ σοι περιελόμενος τὴν ἁλουργίδα. οἷός τις ἐνταῦθα γέγονας τοσούτων μὲν ἐθνῶν καὶ στρατοπέδων καὶ χρημάτων ἐν ἡμέρᾳ μιᾷ γεγονὼς κύριος, τὸν πολέμιον δέ, εἰ καὶ μὴ τοῖς ἔργοις, ἀλλὰ τῇ γνώμῃ φανέντα, τὴν ἀρχὴν ἀφελόμενος καὶ τοῦ σώματος κρατήσας; ἆρ' οὐ τούτῳ μὲν ἄμεινον καὶ δικαιότερον προσηνέχθης ἢ Κῦρος τῷ πάππῳ, τοῖς περὶ αὐτὸν δὲ τὰς τιμὰς διεφύλαξας οὐδὲν οὐδενὸς ἀφελόμενος, προσθεὶς δὲ οἶμαι δωρεὰς πολλοῖς; τίς B δέ (σ') εἶδεν ἢ πρὸ τοῦ κρατῆσαι σκυθρωπὸν λίαν ἢ μετὰ τοῦθ' ὑπερηδόμενον; καίτοι πῶς ἄξιον ἐπαινεῖν ἐστί σε δημηγόρον ἅμα καὶ στρατηγὸν ἢ βασιλέα χρηστὸν καὶ γενναῖον ὁπλίτην προσαγορεύοντας;

1 ἐνδείκνυντο error est operarum in ed. pet. translatus in spanhemianam | καὶ add. H 5 ἀκούειν ἐπιθ. V] ἐπιθ. ἀκούειν 6 σὲ add. Rsk. 8 πολέμιον Rsk.] πόλεμον 10 οὐδὲ τὴν V] οὐ τὴν 11 ξὺν VM] σὺν | ἄκων] ἀκούων V 12 φασί] φησί? | πειθανάγκῃ add. Suidas in πειθανάγκη 13 οἷός τις H] ὅστις 16 et 17 τῇ γε γνώμῃ Rsk. 18 ἆρ' οὐ Rsk. et H] ἄρ' οὖν 19 κύρος, ut saepe, V 22 σ' add. Rsk. et H 23 ἴσως H] πῶς. cf. 6 C 8 C 20 B 29 C 171 D 24 ἔστι V

ὃς πάλαι μὲν ἀπορραγὲν τὸ στρατήγιον ἀπὸ τοῦ βή-
ματος ἐς ταὐτὸν πάλιν ἐπαναγαγεῖν ἠξίωσας σχῆμα,
μιμούμενος οἶμαι Ὀδυσσέα καὶ Νέστορα καὶ τοὺς
C ἐξελόντας Καρχηδόνα Ῥωμαίων στρατηγούς, οἳ φοβε-
ρωτέρους αὑτοὺς ἀπὸ τοῦ βήματος τοῖς ἀδικοῦσιν ἢ
τοῖς πολεμίοις ἐπὶ τῆς παρατάξεως ἀεὶ κατέστησαν.
Δημοσθένους δὲ καὶ ὅστις τοῦτον ἐζήλωκε τὴν ἐν
τοῖς λόγοις ἰσχὺν αἰδούμενος, τῷ τρόπῳ τῆς δημη-
γορίας οὔποτ' ἂν ἀξιώσαιμι τῷ (σῷ) παραβαλεῖν
τἀκείνων θέατρα. οὐ γὰρ ἐν τοῖς ὁπλίταις ἐδημη-
γόρουν οὐδὲ ὑπὲρ τοσούτων κινδυνεύοντες, ἀλλ' ὑπὲρ
χρημάτων ἢ τιμῆς ἢ δόξης, ἢ φίλοις συνερεῖν ἐπαγ-
D γειλάμενοι, ἀπῄεσαν οἶμαι πολλάκις ἀπὸ τοῦ βήματος,
τοῦ δήμου θορυβήσαντος, ὠχροὶ καὶ τρέμοντες, ὥσπερ
οἱ δειλοὶ τῶν πολεμίων ἐν ὄψει στρατηγοὶ παρατατ-
τόμενοι. καὶ οὐδεὶς ἂν εἰπεῖν ἔχοι τοσοῦτον ἔργον
ἑτέρῳ πραχθὲν πώποτε καὶ τοσούτων ἐθνῶν κτῆσιν
ἐκ δικαστηρίου, ἄλλως τε καὶ πρὸς ἄνδρα τῆς δίκης
33 οὔσης οὐχ, ὡς οἱ πολλοί φασιν, εὐκαταφρόνητον,
ἀλλὰ πολλαῖς μὲν στρατείαις γνώριμον, πρεσβύτην δὲ
ἤδη καὶ τὴν ἐμπειρίαν ἐκ τοῦ χρόνου δοκοῦντα
προσειληφέναι καὶ τῶν στρατοπέδων ἐκείνων ἄρχειν
λαχόντα πολὺν ἤδη χρόνον. τίς οὖν ἡ ῥώμη γέγονε
τῶν λόγων; τίς δὲ ἡ πειθὼ τοῖς χείλεσιν ἐπικαθη-
μένη, (ἣ) παντοδαπῶν ἀνθρώπων συνειλεγμένων τὸ
κέντρον ἐναπολιπεῖν ἴσχυσε ταῖς ψυχαῖς, καὶ νίκην

2 ἐς VM] εἰς | ταὐτὸν V] ταὐτὸ | ἐπαναγαγεῖν V] ἐπανάγειν 5 αὑτοὺς VM 9 τῷ σῷ Pet.] τῷ | παραβαλεῖν VM] παραβάλλειν 10 τἀκείνου V | οὐ γὰρ V] οὐδὲ γὰρ 12 συνερεῖν Rsk. et Wytt.] συνεργεῖν 13 ἀπῄεσαν] ἀπῆσαν H 15 et 16 παρατεττόμενοι VM] ταραττόμενοι 16 ἔχοι Schaef.] ἔχει M, ἔχῃ v 17 πώποτε, ut solet, V 20 στρατιαῖς V 25 ἣ add. Rsk. et Schaef. 26 ἴσχυσε Schaef.] ἰσχύσαι

παρασχεῖν τῷ μεγέθει μὲν ἐνάμιλλον ταῖς ἐκ τῶν ὅπλων περιγινομέναις, εὐαγῆ δὲ καὶ καθαράν, ὥσπερ B ἱερέως ἐς θεοῦ φοιτῶντος, ἀλλ' οὐ βασιλέως ἐς πόλεμον, ἔργον γενομένην; καίτοι γε μὴν ταύτης εἰκόνα τῆς πράξεως μακρῷ λειπομένην καὶ Πέρσαι θρυλοῦσι, τοὺς Δαρείου παῖδας τοῦ πατρὸς τελευτήσαντος ὑπὲρ τῆς ἀρχῆς διαφερομένους δίκῃ τὰ καθ' αὑτοὺς καὶ οὐ τῇ τῶν ὅπλων ἐπιτρέψαι κρίσει. σοὶ δὲ πρὸς μὲν τοὺς ἀδελφοὺς οὔτε ἐν τοῖς λόγοις οὔτε ἐν τοῖς ἔργοις ἀγὼν γέγονεν οὐδὲ εἷς· ἔχαιρες δὲ C οἶμαι τῷ κοινὴν πρὸς ἐκείνους εἶναί σοι τὴν ἐπιμέλειαν μᾶλλον ἢ τῷ μόνος ἁπάντων γενέσθαι κύριος· πρὸς δὲ τὸν ἀσεβὲς μὲν ἢ παράνομον οὐδὲν εἰργασμένον, ἄπιστον δὲ τῇ γνώμῃ φανέντα (ἐν) ἐλέγχοις, οἳ τὴν ἀπιστίαν ἐκείνου δείξουσι.

Ταύτην ἐκδέχεται στρατεία λαμπρὰ τὴν δημηγορίαν καὶ πόλεμος ἱερός, οὐχ ὑπὲρ ἱεροῦ χωρίου, ὁποῖον τὸν Φωκικὸν ἀκούομεν ἐνστῆναι κατὰ τοὺς ἔμπροσθεν, ἀλλ' ὑπὲρ τῶν νόμων καὶ τῆς πολιτείας D καὶ φόνου πολιτῶν μυρίων, ὧν τοὺς μὲν ἀνῃρήκει, τοὺς δὲ ἐμέλλησε, τοὺς δὲ ἐπεχείρησε συλλαβεῖν, ὥσπερ οἶμαι δεδιὼς μή τις αὐτὸν πολίτην μοχθηρόν, ἀλλ' οὐχὶ βάρβαρον ὑπολάβῃ φύσει. τὰ γὰρ εἰς τὴν σὴν οἰκίαν ἀδικήματα οὐδενὸς ὄντα τῶν κοινῇ τολμηθέντων αὐτῷ φαυλότερα καὶ ἐλάττονος ἀξιοῦν ᾤου

2 περιγινομέναις M] παραγινομέναις V, προγενομέναις v 3 ἐς VM] ἐκ 4 καίτοι γε μὴν Rsk.] καὶ στιγμήν 6 θρυλοῦσι H] θρυλλοῦσι 13 τὸ ἀσεβὲς V 14 ἐν add. Rsk. | ἐλέγχου σοι V 16 στρατιὰ V 17 καὶ ὁ πόλεμος V | οὐχ om. V, sed eadem manus s. v. addidit 18 ἐνστῆναι Schaef.] στῆναι v, συστῆναι Pet. 20 ἀνῃρήκει H] ἀνήρηκε V, ἀνήρηκεν v 21 ἐμέλησε V | ἐπεχείρισε V 23 οὐχὶ V] οὐ | ὑπολάβοι M 25 φαυλοτέρας VM

δεῖν φροντίδος· οὕτω σοι τὰ κοινὰ πρὸ τῶν ἰδίων ἔδοξε καὶ δοκεῖ τίμια.

34 Πότερον οὖν χρὴ τῶν ἀδικημάτων ἁπάντων μεμνῆσθαι ὧν τε εἰς τὸ κοινὸν καὶ κατ' ἰδίαν ἔδρασε, κτείνας μὲν τὸν αὐτὸς αὑτοῦ δεσπότην· ἀνδράποδον γὰρ ἦν τῶν ἐκείνου προγόνων, τῆς ἀπὸ Γερμανῶν λείας λείψανον δυστυχὲς περισωζόμενον· ἄρχειν δὲ ἡμῶν ἐπιχειρῶν, ᾧ μηδὲ ἐλευθέρῳ. προσῆκον ἦν νομισθῆναι μὴ τοῦτο παρ' ὑμῶν λαβόντι· καὶ (ὡς) τοὺς ἐπὶ τοῦ στρατοπέδου ξυνδῶν καὶ ἀποκτιννὺς καὶ δουλεύων αἰσχρῶς τῷ πλήθει καὶ κολακεύων τὴν
B εὐταξίαν διέφθειρε· καὶ ὡς τοὺς καλοὺς ἐκείνους ἐτίθει νόμους, τὴν ἡμίσειαν εἰσφέρειν, θάνατον ἀπειλῶν τοῖς ἀπειθοῦσι, μηνυτὰς δὲ εἶναι τὸν βουλόμενον τῶν οἰκετῶν· καὶ ὅπως ἠνάγκαζε τοὺς οὐδὲν δεομένους τὰ βασιλικὰ κτήματα πρίασθαι; ἐπιλείψει με τἀκείνου διηγούμενον ὁ χρόνος ἀδικήματα καὶ τῆς τυραννίδος τῆς καταλαβούσης τὸ μέγεθος. ἀλλὰ τῆς παρασκευῆς τῆς ἐς τὸν πόλεμον, ἣν κατέβαλε
C μὲν ἐπὶ τοὺς βαρβάρους, ἐχρήσατο δὲ ἐφ' ἡμᾶς, τὴν ἰσχὺν τίς (ἂν) ἀξίως παραστήσειε; Κελτοὶ καὶ Γαλάται, ἔθνη καὶ τοῖς πάλαι φανέντα δυσανταγώνιστα, πολλάκις μὲν ἐπιρρεύσαντα καθάπερ χειμάρρους ἀνυπόστατος Ἰταλοῖς καὶ Ἰλλυριοῖς, ἤδη δὲ καὶ τῆς Ἀσίας ἁψάμενα τῷ κρατεῖν τοῖς ἐνόπλοις ἀγῶσιν,

2 ἔδοξε Schaef.] ἔδοξαν 4 εἰς V] ἐς. Schaefero rectius videtur ὧν εἴς τε. Vid. ad 70 C 5 τὸν αὐτὸς αὑτοῦ V et Suidas v. πειθανάγκη, αὐτὸς τὸν αὑτοῦ v 9 ὑμῶν V] ἡμῶν | ὡς add. H, Rsk. post κολακεύων addi voluit 10 τοῦ στρατοπέδου H] τῷ στρατοπέδῳ | ξυνδῶν H] ξυνδέων. cf. ad 364 C 16 πριᾶσθαι V 19 ἐς V] εἰς | κατέβαλε M] κατέλαβε 21 ἂν addendum esse aut παραστήσει scribendum vidit Schaef.

ἄκοντες ἡμῖν ὑπήκουσαν, ἐς (τε) τοὺς καταλόγους τῶν στρατευμάτων ἐγγράφονται καὶ τέλη παρέχονται λαμπρὰ παρὰ τῶν σῶν προγόνων καὶ πατρὸς κατειλεγμένα· εἰρήνης δὲ μακρᾶς καὶ τῶν ἐκ ταύτης ἀγαθῶν ἀπολαύοντες, ἐπιδούσης αὐτοῖς τῆς χώρας D
πρὸς πλοῦτον καὶ εὐανδρίαν, καὶ ἀδελφοῖς τοῖς σοῖς στρατιώτας καταλέξαι πολλοὺς παρέσχοντο, τέλος δὲ τῷ τυράννῳ βίᾳ καὶ οὐ γνώμῃ πανδημεὶ συνεστρατεύοντο. ἠκολούθουν δὲ αὐτῷ κατὰ τὸ ξυγγενὲς ξύμμαχοι προθυμότατοι Φράγγοι καὶ Σάξονες, τῶν ὑπὲρ τὸν Ῥῆνον καὶ τὴν ἑσπερίαν θάλατταν ἐθνῶν τὰ μαχιμώτατα. καὶ πόλις πᾶσα καὶ φρούριον πρόσ- 31
οικον Ῥήνῳ τῶν ἐνοικούντων φυλάκων ἐξερημωθέντα προδέδοτο μὲν ἀφύλακτα πάντα τοῖς βαρβάροις, ἐφ' ἡμᾶς δὲ ἐξεπέμπετο παρεσκευασμένον λαμπρῶς τὸ στράτευμα· πᾶσα δὲ ἐῴκει πόλις Γαλατικὴ στρατοπέδῳ παρασκευαζομένῳ πρὸς πόλεμον· καὶ πάντα ἦν ὅπλων καὶ παρασκευῆς ἱππέων καὶ πεζῶν καὶ τοξοτῶν καὶ ἀκοντιστῶν πλήρη. συρρεόντων δὲ ἐς τὴν Ἰταλίαν ἁπανταχόθεν τῶν ἐκείνου ξυμμάχων B
καὶ τοῖς ἐνταῦθα πάλαι κατειλεγμένοις στρατιώταις ἐς ταὐτὸν ἐλθόντων, οὐδεὶς οὕτως ἐφάνη τολμηρός, ὃς οὐκ ἔδεισεν οὐδὲ ἐξεπλάγη τὸν ἐπιόντα χειμῶνα. σκηπτὸς ἐδόκει πᾶσιν ὁ φερόμενος ἀπὸ τῶν Ἄλπεων, σκηπτὸς ἀφόρητος ἔργῳ καὶ ἄρρητος λόγῳ. τοῦτον ἔδεισαν Ἰλλυριοὶ καὶ Παίονες καὶ Θρᾷκες καὶ Σκύ-

1 ἄκοντες Rsk.] ἁλόντες | ὑπήκουσαν M] ὑπείκουσιν | τε adjecit Wytt. 4 δὲ VM] καὶ 9 καὶ σάξονες φράγγοι add. V post αὐτῷ 10 ξύμμαχοι V] σύμμαχοι | Φράγγοι καὶ Σάξονες om. V 11 ὑπὲρ] Aut περὶ scribendum aut hoc ante τὴν ἑσπερίαν addendum 13 ἐνοικούντων H] οἰκούντων 14 προυδίδοτο H 16 γαλακτικὴ V 20 ἐς VM] εἰς | ξυμμάχων VM] συμμάχων

, τοῦτον οἱ τὴν Ἀσίαν οἰκοῦντες ἄνθρωποι ἐφ'
οὺς ὡρμῆσθαι πάντως ὑπέλαβον, τούτῳ πολεμή-
ν ἤδη περὶ τῆς αὐτῶν καὶ Πέρσαι παρεσκευάζοντο.
δὲ μικρὰ μὲν ἐνόμιζεν εἶναι τὰ παρόντα καὶ πόνον
ὐ πολὺν τῆς σῆς συνέσεως καὶ ῥώμης κρατῆσαι,
οὺς Ἰνδῶν δὲ ἐσκόπει πλούτους καὶ Περσῶν τὴν
πολυτέλειαν· [καὶ] τοσοῦτον αὐτῷ περιῆν ἀνοίας καὶ
θράσους ἐκ μικροῦ παντελῶς περὶ τοὺς κατασκόπους
πλεονεκτήματος, οὓς ἀφυλάκτους ὅλῃ τῇ στρατιᾷ λο-
χήσας ἔκτεινεν. οὕτω τὸ πράττειν εὖ παρὰ τὴν
ἀξίαν ἀρχὴ πολλάκις γέγονε τοῖς ἀνοήτοις μειζόνων
D συμφορῶν. ἀρθεὶς γὰρ ὁ δείλαιος ὑπὸ τῆς εὐτυχίας
ταύτης μετέωρος κατέλιπε μὲν τὰ προκείμενα τῆς
Ἰταλίας ἐρυμνὰ χωρία, ἐς Νωρικοὺς δὲ καὶ Παίονας
ἀφυλάκτως ᾔει, δεῖν αὐτῷ τάχους, ἀλλ' οὐχ ὅπλων
οὐδὲ ἀνδρείας οἰόμενος. ὃ δὴ καταμαθὼν ἐπανῆγες
ἀπὸ τῶν δυσχωριῶν τὸ στράτευμα, εἵπετο δὲ ἐκεῖνος,
διώκειν, οὐχὶ δὲ καταστρατηγεῖσθαι νομίσας, ἕως εἰς
36 τὴν εὐρυχωρίαν ἄμφω κατέστητε. τῶν πεδίων δὲ
τῶν πρὸ τῆς Μύρσης ὀφθέντων, ἐτάττοντο μὲν ἐπὶ
κέρως ἱππεῖς ἑκατέρου πεζοί τε ἐν μέσῳ· ἔχων δὲ
αὐτός, ὦ βασιλεῦ, τὸν ποταμὸν ἐν δεξιᾷ, τῷ λαιῷ
τοὺς πολεμίους ὑπερβαλλόμενος ἐτρέψω μὲν εὐθέως
καὶ διέλυσας τὴν φάλαγγα οὐδὲ τὴν ἀρχὴν συγκει-
μένην ὀρθῶς, ἅτε ἀνδρὸς ἀπείρου πολέμων καὶ στρα-
τηγίας αὐτὴν κοσμήσαντος. ὁ δὲ τέως διώκειν ὑπο-

1 ἄνθρωποι si deleveris, suspectus tolletur hiatus 1 et 2 ἐφ' αὐτοὺς Schaef.] ἐπ' αὐτοὺς 2 et 3 πολεμεῖν H. Vid. Cobetus Mnemos. 11 p. 354 3 αὐτῶν V] αὑτῶν 7 καὶ seclusit H 14 νωρίκους VM 15 αὐτῶ VM 18 εἰς VM] ἐς 20 et 21 ἐπὶ κέρως Wytt.] ἐπικαίρως 22 τῷ λαιῷ δὲ Rsk. 23 ὑπερβαλλόμενος V] ὑπερβαλόμενος 24 οὐδὲ Rsk. et Schaef.] οὔτε

λαμβάνων, οὐδὲ ἐς χεῖρας ἀφικόμενος, ἔφευγε καρτερῶς B ἐκπλαγεὶς τὸν κτύπον τῶν ὅπλων, οὐδὲ τὸν ἐνυάλιον παιᾶνα τῶν στρατοπέδων ἐπαλαλαζόντων ἀδεῶς ἀκούων. διαλυθείσης δὲ οἱ στρατιῶται τῆς τάξεως συνιστάμενοι κατὰ λόχους πάλιν τὸν ἀγῶνα συνέβαλον, αἰσχυνόμενοι μὲν ὀφθῆναι φεύγοντες καὶ τὸ τέως ἄπιστον ἅπασιν ἀνθρώποις ἐφ' αὐτῶν δεῖξαι συμβαῖνον, στρατιώτην Κελτόν, στρατιώτην ἐκ Γαλατίας τὰ νῶτα τοῖς πολεμίοις δείξαντα. οἱ βάρβαροι δὲ C τὴν ἐπάνοδον ἀπεγνωκότες, εἰ πταίσειαν, ἢ κρατεῖν ἢ θνήσκειν δράσαντές τι δεινὸν τοὺς πολεμίους ἠξίουν. τοῖς μὲν οὖν ξὺν τῷ τυράννῳ τοσοῦτον περιῆν θράσος καὶ πρὸς τὰ δεινὰ τοῦ χωρεῖν ὁμόσε πολλὴ προθυμία. οἱ δὲ τῶν ὅλων κρατήσαντες, αἰδούμενοι μὲν ἀλλήλους καὶ τὸν βασιλέα, παροξυνόμενοι δὲ ὑπὸ τῶν πάλαι κατορθωμάτων καὶ τῶν ἐν χερσὶ λαμπρῶν καὶ τέως ἀπίστων ἔργων, τέλος ἄξιον τοῖς προϋπηργμένοις ἐπιθεῖναι φιλοτιμούμενοι πάντα D ὑπέμενον ἡδέως πόνον καὶ κίνδυνον. ὥσπερ οὖν ἄρτι τῆς παρατάξεως ἀρχομένης, συνιόντες πάλιν ἔργα τόλμης ἀπεδείκνυντο καὶ θυμοῦ γενναῖα, οἱ μὲν ὠθούμενοι περὶ τοῖς ξίφεσιν, ἄλλοι δὲ λαμβανόμενοι τῶν ἀσπίδων, καὶ τῶν ἱππέων ὁπόσους ἵπποι τρωθέντες ἀπεσείοντο πρὸς τοὺς ὁπλίτας μετεσκευάζοντο. ταῦτα ἔδρων οἱ ξὺν τῷ τυράννῳ τοῖς πεζοῖς ἐπιβρίσαντες· καὶ ἦν ὁ πόλεμος ἐξ ἴσης, ἕως οἱ θωρα-

5 συνέβαλον marg. spanh.] συνέβαλλον V, συνέλαβον M, κατέβαλον v 7 αὐτῶν Pet.] αὐτῷ (αὐτὸν M) 10 εἰ] ἢ V | πταίσειαν H] πταίσαιεν 13 θράσους Wytt. | καὶ post τὰ δεινὰ transponendum videtur 14 πολλῇ προθυμίᾳ fl. 18 προσυπηργμένοις V 21 ἀπεδείκνυντο V] ἐπεδείκνυντο 22 ξίφεσιν, ἄλλοι δὲ λ. τῶν ἀσπ. V] ξίφεσι· λαμβ. δὲ ἄλλοι τῶν ἀσπ.

37 κοφόροι καὶ τὸ λοιπὸν τῶν ἱππέων πλῆθος, οἱ μὲν ἐκ τόξων βάλλοντες, ἄλλοι δὲ ἐπελαύνοντες τοὺς ἵππους, πολλοὺς μὲν ἔκτεινον, ἐδίωκον δὲ ἅπαντας καρτερῶς, τινὰς μὲν πρὸς τὸ πεδίον ὡρμηκότας φεύγειν, ὧν ἡ νὺξ ὀλίγους ἀπέσωσε μόλις, τὸ λοιπὸν δὲ ἐς τὸν ποταμὸν κατηνέχθη, καθάπερ βοῶν ἢ βοσκημάτων ἀγέλη συνελαυνόμενοι. τοσαῦτα ἐκεῖνο τὸ στράτευμα τῆς τοῦ τυράννου δειλίας, οὐδὲν ἐκεῖνον ὀνῆσαν ἐκ τῆς ἀνδρείας τῆς αὐτοῦ, μάτην ἀπέ-
B λαυσε. τρόπαιον δὲ ἀνέστησας ἐπὶ τῇ νίκῃ τοῦ πατρῴου λαμπρότερον. ὁ μὲν γὰρ τοὺς τέως ἀμάχους δοκοῦντας ἄγων ἐκράτει γέροντος δυστυχοῦς· σὺ δὲ ἡβῶσαν καὶ ἀκμάζουσαν οὐ τοῖς κακοῖς μόνον οἷς ἔδρα, τῇ νεότητι δὲ πλέον, τὴν τυραννίδα παρεστήσω, τοῖς ὑπὸ σοῦ παρασκευασθεῖσι στρατοπέδοις παραταξάμενος. τίς γὰρ εἰπεῖν ἔχει τῶν πρόσθεν αὐτοκρατόρων ἱππικὴν δύναμιν καὶ σκευὴν τῶν ὅπλων
C τοιαύτην ἐπινοήσαντα καὶ μιμησάμενον; ἢ πρῶτος αὐτὸς ἐγγυμνασάμενος διδάσκαλος ἐγένου τοῖς ἄλλοις ὅπλων χρήσεως ἀμάχου. ὑπὲρ ἧς εἰπεῖν τολμήσαντες πολλοὶ τῆς ἀξίας διήμαρτον, ὥσθ' ὅσοι τῶν λόγων ἀκούσαντες ὕστερον ἰδεῖν ηὐτύχησαν τὰς ἀκοὰς σαφῶς ἀπιστοτέρας ἔγνωσαν εἶναι τῶν ὀμμάτων. ἄπειρον γὰρ ἦγες ἱππέων πλῆθος, καθάπερ ἀνδριάντας ἐπὶ τῶν ἵππων ὀχουμένους, οἷς συνήρμοστο τὰ μέλη
D κατὰ μίμησιν τῆς ἀνθρωπίνης φύσεως· ἀπὸ μὲν τῶν ἄκρων καρπῶν ἐς τοὺς ἀγκῶνας, ἐκεῖθεν δὲ ἐπὶ τοὺς

2 et 3 τοῖς ἵπποις M 6 ἐς V] εἰς 9 αὐτοῦ Schaef.] αὑτοῦ 9 et 10 ἀπήλαυσε VM 13 μόνον V] μόνοις 14 πλέον om. M 23 et 24 ἄπειρον Rsk.] ἀπείρων 24 ἦγες V] εἶχες 26 et 27 τῶν ἄκρων καρπ. V] ἄκρων τῶν καρπ. 27 ἐς V] εἰς

ὤμους, καὶ ὁ θώραξ (ἐκ) τμημάτων κατὰ τὸ στέρνον
καὶ τὰ νῶτα συναρμοζόμενος, τὸ κράνος αὐτῷ προσ-
ώπῳ σιδηροῦν ἐπικείμενον ἀνδριάντος λαμπροῦ καὶ
στίλβοντος παρέχει τὴν ὄψιν, ἐπεὶ μηδὲ κνῆμαι καὶ
μηροὶ μηδὲ ἄκροι πόδες τῆς σκευῆς ταύτης ἔρημοι
λείπονται. συναρμοζομένων δὲ αὐτῶν τοῖς θώραξι
διά τινων ἐκ κρίκου λεπτοῦ πεποιημένων οἱονεὶ ὑφα-
σμάτων οὐδὲν ἂν ὀφθείη τοῦ σώματος γυμνὸν μέ- 38
ρος, ἅτε καὶ τῶν χειρῶν τοῖς ὑφάσμασι τούτοις σκε-
πομένων πρὸς τὸ καὶ καμπτομένοις ἐπακολουθεῖν τοῖς
δακτύλοις. ταῦτα ὁ λόγος παραστῆσαι μὲν σαφῶς
ἐπιθυμεῖ, ἀπολειπόμενος δὲ θεατὰς τῶν ὅπλων τοὺς
μαθεῖν τι πλέον ἐθέλοντας, οὐχὶ δὲ ἀκροατὰς τῆς
ὑπὲρ αὐτῶν διηγήσεως ἀξιοῖ γενέσθαι.

Ἡμεῖς δὲ ἐπειδὴ τὸν πρῶτον πόλεμον διεληλύ-
θαμεν, ληγούσης ἤδη τῆς ὀπώρας, ἆρ' ἐνταῦθα τὴν B
διήγησιν πάλιν ἀφήσομεν; ἢ πάντως τὸ τέλος ἀπο-
δοῦναι τῶν ἔργων ποθοῦσιν ἄξιον; ἐπέλαβε μὲν ὁ
χειμὼν καὶ παρέσχε διαφυγεῖν τὴν τιμωρίαν τὸν
τύραννον. κηρύγματα δὲ ἦν λαμπρὰ καὶ βασιλικῆς
ἄξια μεγαλοψυχίας· ἄδεια δὲ πᾶσιν ἐδίδοτο τοῖς τα-
ξαμένοις μετὰ τοῦ τυράννου, πλὴν εἴ τις ἀνοσίων
ἐκείνῳ φόνων ἐκοινώνει· ἀπελάμβανον τὰς οἰκίας
ἅπαντες καὶ τὰ χρήματα καὶ πατρίδας οἱ μηδὲ ὄψε-
σθαί τι τῶν φιλτάτων αὐτοῖς ἐλπίζοντες. ὑπεδέχου C
τὸ ναυτικὸν ἐκ τῆς Ἰταλίας ἐπανερχόμενον, πολλοὺς
ἐκεῖθεν πολίτας κατάγον φεύγοντας οἶμαι τὴν τῶν

1 ἐκ add. Rsk. 2 τὰ νῶτα M] νῶτα 3 ἐπικείμενον H] ἐπικείμενος 7 et 8 οἱονεὶ δι' ὑφασμάτων? 16 et 17 τὴν διήγ. πάλιν ἀφήσομεν V] πάλιν ἀφήσ. τὴν διήγ. Propter πάλιν cf. 59 C 18 τοῖς ποθοῦσιν malim 23 ἀπέλαβον M 27 πολίτας om. M

τυράννων ὠμότητα. ἐπεὶ δὲ ὁ καιρὸς ἐκάλει στρατεύεσθαι, πάλιν ἐφειστήκεις δεινὸς τῷ τυράννῳ. ὁ δὲ προυβάλλετο τὰς Ἰταλῶν δυσχωρίας, καὶ τοῖς ὄρεσι τοῖς ἐκεῖ καθάπερ θηρίον ἐναποκρύψας τὰς δυνάμεις αὐτὸς οὐδὲ ὑπαίθριος ἐτόλμα στρατεύειν.
D ἀναλαβὼν δὲ αὐτὸν εἰς τὴν πλησίον πόλιν τρυφῶσαν καὶ πολυτελῆ, ἐν πανηγύρεσι καὶ τρυφαῖς ἔτριβε τὸν χρόνον, ἀρκέσειν μὲν αὐτῷ πρὸς σωτηρίαν τῶν ὀρῶν τὴν δυσχωρίαν μόνον οἰόμενος. ἀκόλαστος δὲ ὢν φύσει κερδαίνειν ᾤετο τὸ χαρίζεσθαι ταῖς ἐπιθυμίαις ἐν τοσούτοις κακοῖς, δῆλός τε ἦν λίαν πεπιστευκὼς ἀσφαλῶς αὐτῷ τὰ παρόντα ἔχειν ἀποτειχιζομένης ἐν
89 κύκλῳ τῆς Ἰταλίας τοῖς ὄρεσι, πλὴν ὅσον ἐξ ἡμισείας ἡ θάλασσα τεναγώδης οὖσα καὶ τοῖς Αἰγυπτίων ἕλεσιν ἐμφερὴς ἄβατον καὶ νηίτῃ στρατῷ πολεμίων ἀνδρῶν καθίστησιν. ἀλλ' ἔοικεν οὐδὲ ἓν ἡ φύσις πρὸς ἀνδρὸς ἀρετὴν καὶ σωφροσύνην τοῖς ἀκολάστοις καὶ δειλοῖς ἔρυμα μηχανήσασθαι, πάντα ὑποχωρεῖν φρονήσει μετὰ ἀνδρείας ἐπιούσῃ παρασκευάζουσα· πάλαι τε ἡμῖν ἐξηῦρε τὰς τέχνας, δι' ὧν εἰς εὐπο-
B ρίαν τῶν τέως δοξάντων ἀπόρων κατέστημεν, καὶ ἐπὶ τῶν καθ' ἕκαστον ἔργων τὸ πολλοῖς ἀδύνατον εἶναι φαινόμενον ἐπιτελούμενον πρὸς ἀνδρὸς σώφρονος. ὃ δὴ καὶ τότε τοῖς ἔργοις, ὦ βασιλεῦ, δείξας εἰκότως ἂν ἀποδέχοιο τοὺς ἐπ' αὐτῷ λόγους. ἐστράτευες μὲν γὰρ αὐτὸς ὑπαίθριος, καὶ ταῦτα πλησίον

2 δεινὸς V] δεινῶς v, δεινὼς (sic) M 6 αὐτὸν VM 8 αὐτῷ VM 11 λίαν πεπιστ. V] πεπιστ. λίαν 13 τοῖς ὄρεσι V] ὑπὸ τοῖς ὄρεσι 18 πάντα δὲ V 20 ἐξηῦρε H] ἐξεῦρε 21 δοξάντων ἀπόρων V] ἀπόρων δοξάντων | κατέστημεν VM] καθέστηκεν 22 τὸ τοῖς πολλοῖς H 23 Post φαινόμενον Rsk. ἐπέδειξε putat excidisse

παρούσης πόλεως οὐ φαύλης, τοῖς στρατευομένοις δὲ
οὐκ ἐξ ἐπιτάγματος τὸ πονεῖν καὶ κινδυνεύειν, ἐξ
ὧν δὲ αὐτὸς ἔδρας παρεγγυῶν, ἄτραπον μὲν ἐξηῦρες
ἄγνωστον τοῖς πᾶσι· πέμψας δὲ ἀξιόμαχον τῆς δυνά- C
μεως ἁπάσης ὁπλιτῶν μοῖραν, εἶτα ἐπειδὴ σαφῶς
ἔγνως αὐτοὺς τοῖς πολεμίοις ἐφεστῶτας, αὐτὸς ἀνα-
λαβὼν ἦγες τὸ στράτευμα, καὶ κύκλῳ περιέχων πάν-
των ἐκράτησας. ταῦτα ἐδρᾶτο πρὸ τῆς ἕω, ἤγγελτο
δὲ πρὸ μεσημβρίας τῷ τυράννῳ ἁμίλλαις ἱππικαῖς
καὶ πανηγύρει προσκαθημένῳ καὶ τῶν παρόντων οὐ-
δὲν ἐλπίζοντι. τίς μὲν οὖν γέγονεν ἐκ τίνος, καὶ
ποταπὴν γνώμην εἶχεν ὑπὲρ τῶν παρόντων, καὶ ὅπως D
ἐκλιπὼν ἔφυγε τὴν πόλιν καὶ τὴν Ἰταλίαν πᾶσαν,
τοὺς φόνους καὶ τὰς πρόσθεν ἀδικίας ἐκκαθαιρόμενος,
οὐ τοῦ παρόντος ἂν εἴη λόγου διηγεῖσθαι. ἔμελλε
δὲ βραχείας ἀνοκωχῆς τυχὼν οὐδέν τι μεῖον τῶν
ἔμπροσθεν δράσειν. οὕτως οὐδὲν πρὸς πονηρίαν
ψυχῆς ἄνθρωπος ἀνόσιος ἐξηῦρε καθάρσιον διὰ τοῦ
σώματος. ἀφικόμενος γὰρ εἰς Γαλατίαν ὁ χρηστὸς
οὑτοσὶ καὶ νόμιμος ἄρχων τοσοῦτον αὑτοῦ γέγονε
χαλεπώτερος, ὥς, εἴ τις πρότερον αὐτὸν διαφυγὼν 40
ἐλελήθει τιμωρίας τρόπος ὠμότατος, τοῦτον ἐξευρὼν
θέαμα κεχαρισμένον αὑτῷ τὰς τῶν ἀθλίων πολιτῶν
παρεῖχε συμφοράς· ἅρματος ζῶντας ἐκδήσας καὶ μεθ-
εὶς φέρεσθαι τοῖς ἡνιόχοις ἕλκειν ἂν ἐκέλευεν, αὐ-

3 ἐξηῦρες H] ἐξεῦρες 7 περισχὼν M pet. 9 μεσηβρίας V 12 τῶν παρόντων VM] παρόντων 13 ἔφυγε M] ἔφευγε | πᾶσαν V] ἅπασαν 14 ἐκκαθαρούμενος? 16 ἀνοκωχῆς Cobetus] ἀνακωχῆς | οὐδὲν τίμιον V 18 ἀνόσιος Cobetus] ἀλλ' ὁ θεός (ἀλλ' οὐ θεὸς V) | ἐξηῦρε H] ἐξεῦρε 19 γαλατίαν V] γαλάτας 20 αὐτὸς V, αὐτὸς αὑτοῦ Schaef. 21 πρότερος V | αὐτὸν VM] αὐτὸ 23 αὑτῷ Schaef.] αὐτῷ 25 ἂν ἐκέλευεν Schaef.] ἀνεκέλευεν V, ἐκέλευεν v

[redacted]

τὸς ἐφεστηκὼς καὶ θεώμενος τὰ δρώμενα· καί τισι
τοιούτοις ἑτέροις αὐτὸν ψυχαγωγῶν τὸν πάντα διε-
B τέλει χρόνον, ἕως αὐτὸν καθάπερ Ὀλυμπιονίκης περὶ
τῷ τρίτῳ παλαίσματι καταβαλὼν δίκην ἐπιθεῖναι τῶν
τετολμημένων ἀξίαν κατηνάγκασας ὤσαντα διὰ τῶν
στέρνων τὸ αὐτὸ ξίφος, ὃ πολλῶν πολιτῶν ἐμίανε
φόνῳ. ταύτης ἐγὼ τῆς δίκης ἀμείνω καὶ δικαιοτέραν
οὔποτε γενέσθαι φημὶ οὐδὲ ἐφ' ᾗ μᾶλλον τὸ κοινὸν
τῶν ἀνθρώπων ηὐφράνθη γένος, τοσαύτης ὠμότητος
καὶ πικρίας ἀφεθὲν ὄντως ἐλεύθερον, εὐνομίᾳ δὲ
ἤδη γανύμενον, ἧς τέως ἀπολαύομεν καὶ ἀπολαύσαι-
C μέν γε ἐπὶ πλέον, ὦ πάντα ἀγαθὴ πρόνοια. ἐμοὶ
δὲ ποθοῦντι μὲν ἐπεξελθεῖν ἅπασι τοῖς σοι πραχθεῖ-
σιν, ἀπολειπομένῳ δὲ συγγνώμην εἰκότως, ὦ μέγιστε
βασιλεῦ, παρέξεις, εἰ μήτε τῶν ἀποστόλων τῶν ἐπὶ
Καρχηδόνα μνημονεύοιμι ἀπό τε Αἰγύπτου παρα-
σκευασθέντων καὶ [τῶν] ἐξ Ἰταλίας ἐπ' αὐτὴν πλευ-
σάντων, μήτε ὡς τῶν Πυρηναίων ὀρῶν ἐκράτησας
ναυσὶν ἐκπέμψας ἐπ' αὐτὰ στράτευμα, μήτε τῶν
D ἔναγχός σοι πολλάκις πρὸς τοὺς βαρβάρους πραχθέν-
των, μήτ' εἴ τι τοιοῦτον ἕτερον τῶν πάλαι γεγονὸς
λέληθε τοὺς πολλούς. ἐπεὶ καὶ τὴν Ἀντιόχου πόλιν
ἐπώνυμον ἐπονομάζουσαν ἀκούω πολλάκις. ἔστι μὲν
γὰρ διὰ τὸν κτίσαντα, πλουτεῖ δὲ ἤδη καὶ πρὸς
ἅπασαν εὐπορίαν ἐπιδέδωκε διὰ σὲ λιμένας εὐόρμους

2 τοιούτοις ἑτέροις V] ἑτέροις τοιούτοις 6 τὸ αὐτὸ V, τὸ αὐτὸν M, τὸ αὐτοῦ v 7 δίκης M] νίκης 9 τῶν add. V | ηὐφθράνθη V 11 γανύμενον Schaef.] γαννύμενον 12 γε] δὲ? 13 ἐπεξελθεῖν H] ἐπελθεῖν | τοῖς σοὶ πραχθεῖσιν V, τοῖς πραχθεῖσι σοι M, τοῖς πραχθεῖσιν v 16 μνημονεύοιμι] μνημονεύσω? | ἀπὸ τῆς αἰγύπτου M 17 τῶν del. Rsk. | αὐτὴν V] αὐτῇ 21 μήτ' εἴ τι Schaef.] μηδ' εἴ τι (μὴ δ' ὅτι M) 22 Post πόλιν add. Wytt. ἑαυτὴν σοῦ, *Rsk. post* ἐπώνυμον add. σοι ἑαυτὴν 25 διὰ σὲ VM] διά σε

τοῖς καταίρουσι παρασχόντα· τέως δὲ οὐδὲ παραπλεῖν
ἀσφαλὲς οὐδὲ ἀκίνδυνον ἐδόκει· οὕτως ἦν πάντα 41
σκοπέλων τινῶν καὶ πετρῶν ὑφάλων ἀνάπλεα τῆς
θαλάσσης τῆσδε πρὸς ταῖς ᾐόσι. στοὰς δὲ καὶ κρήνας
καὶ ὅσα τοιαῦτα παρὰ τῶν ὑπάρχων διὰ σὲ γέγονεν
οὐδὲ ὀνομάζειν ἄξιον. ὁπόσα δὲ τῇ πατρῴᾳ πόλει
προστέθεικας, τεῖχος μὲν αὐτῇ κύκλῳ περιβαλὼν ἀρ-
ξάμενον τότε, τὰ δοκοῦντα δὲ οὐκ ἀσφαλῶς ....
τῶν οἰκοδομημάτων εἰς ἀθάνατον ἀσφάλειαν κατατι-
θείς, τίς ἂν ἀπαριθμήσαιτο; ἐπιλείψει με τούτων B
ἕκαστον ὁ χρόνος διηγούμενον.

Σκοπεῖν δὲ ὑπὲρ ἁπάντων ἄξιον ἤδη τῶν ῥη-
θέντων, εἰ μετὰ ἀρετῆς καὶ τῆς βελτίστης ἕξεως
ἅπαντα γέγονε· τούτῳ γὰρ ἤδη καὶ τῶν λόγων ἀρ-
χόμενος μάλιστα προσέχειν τὸν νοῦν ἠξίουν. οὐκοῦν
τῷ πατρὶ μὲν εὐσεβῶς καὶ φιλανθρώπως ὅπως προσ-
ηνέχθης, ὁμονοῶν δὲ πρὸς τοὺς ἀδελφοὺς διετέλεσας
τὸν ἅπαντα χρόνον, ἀρχόμενος μὲν προθύμως, συν-
άρχων δὲ ἐκείνοις σωφρόνως, πάλαι τε εἴρηται καὶ C
νῦν ἀξιούσθω μνήμης. τοῦτο δὲ ὅστις μικρᾶς ἀρε-
τῆς ἔργον ὑπέλαβεν Ἀλέξανδρον τὸν Φιλίππου καὶ
Κῦρον τὸν Καμβύσου σκοπῶν ἐπαινείτω. ὁ μὲν γὰρ
μειράκιον ἔτι κομιδῇ νέον δῆλος ἦν τοῦ πατρος οὐκ
ἀνεξόμενος ἄρχοντος, ὁ δὲ ἀφείλετο τὴν ἀρχὴν τὸν
πάππον. καὶ ταῦτα οὐδείς ἐστιν (οὕτως) ἠλίθιος,

2—4 codices VM secutus sum. Vulgo verba τῆς θαλάσσης τῆσδε πρὸς ταῖς ἠιόσι (ᾐόσι correxi) post πάντα leguntur 5 διὰ σὲ VM] διά σε 8 ἀσφαλῆ M. Post ἀσφαλῶς potius ἔχειν vel simile quid videtur excidisse 11 ὁ χρόνος VM] χρόνος 16 τῷ πατρὶ VM] πατρὶ 20 ἀξιώσθω V, ἠξιώσθω M 24 ἀφείλατο V 25 οὕτως add. H, Rsk. εἰ μὴ πάνυ ἠλίθιος scribere, antea autem post ταῦτα addere σκοπῶν et σε post οἴεται vult

ὅστις οὐκ οἴεται, μηδὲν ἐκείνων μεγαλοψυχίᾳ καὶ
τῇ πρὸς τὰ καλὰ φιλοτιμίᾳ λειπόμενον, οὕτως ἐγ-
D κρατῶς καὶ σωφρόνως τῷ πατρὶ καὶ τοῖς ἀδελφοῖς
προσενηνέχθαι. παρασχούσης γὰρ τῆς τύχης τὸν
καιρόν, ἐν ᾧ τῆς ἁπάντων ἡγεμονίας ἐχρῆν μετα-
ποιηθῆναι, πρῶτος ὡρμήθης, πολλῶν ἀπαγορευόντων
καὶ πρὸς τἀναντία ξυμπείθειν ἐπιχειρούντων· ῥᾷστα
δὲ καὶ πρὸς ἀσφάλειαν τὸν ἐν χερσὶ πόλεμον διοι-
κησάμενος ἐλευθεροῦν ἔγνως τῆς ἀρχῆς τὰ κατειλημ-
42 μένα, δικαιοτάτην μὲν καὶ οἵαν οὔπω πρόσθεν ἔλαβε
πρόφασιν πόλεμος τῆς πρὸς ἐκείνους ἔχθρας τιθέμε-
νος. οὐδὲ γὰρ ἐμφύλιον ἄξιον προσαγορεύειν τὸν
πόλεμον, οὗ βάρβαρος ἦν ἡγεμὼν ἑαυτὸν ἀναγορεύσας
βασιλέα καὶ χειροτονήσας στρατηγόν. τῶν ἀδικημά-
των δὲ τῶν ἐκείνου καὶ ὧν ἔδρασεν εἰς οἰκίαν τὴν
σὴν οὐχ ἡδύ μοι πολλάκις μεμνῆσθαι. ἀνδρειοτέραν
δὲ τῆσδε τῆς πράξεως τίς ἂν εἰπεῖν ἔχοι; ἐφ' ἧς
B δῆλος μὲν ἦν ἀποτυχόντι τῶν ἔργων κίνδυνος· ὑπέ-
μενες δὲ οὐδὲν κέρδους χάριν οὐδὲ κλέος ἀείμνηστον
ἀντωνούμενος, ὑπὲρ οὗ καὶ ἀποθνήσκειν ἄνδρες ἀγα-
θοὶ πολλάκις τολμῶσιν, οἷον πρὸς ἀργύριον τὴν
δόξαν τὰς ψυχὰς ἀποδιδόμενοι, οὐδὲ μὴν δι' ἐπι-
θυμίαν ἀρχῆς μείζονος καὶ λαμπροτέρας, ὅτι μηδὲ
νέῳ σοι τούτων ἐπιθυμῆσαι συνέβη, ἀλλ' αὐτὸ τὸ
καλὸν στέργων τῆς πράξεως πάντα ὑπομένειν ᾤου
δεῖν πρὶν ἰδεῖν Ῥωμαίων βάρβαρον βασιλεύοντα καὶ
C νόμων κύριον καὶ πολιτείας καθεστῶτα καὶ τὰς ὑπὲρ
τῶν κοινῶν εὐχὰς ποιούμενον τὸν τοσούτοις ἀσεβή-

1 ὅστις V] ὃς 13 ἀναγορεύων V 17 ἐφ' ἧς V] ἐφ' ᾗ 18 Articulus ante κίνδυνος addendus esse videtur 22 ἀπο-διδόμενοι V] ἀποδόμενοι | οὐδὲ H] οὔτε 23 et 24 μηδὲν σοὶ V 27 πολιτείας καθεστῶτα V] πολιτείαν καθιστῶντα

μασιν ἔνοχον καὶ φόνοις. τῆς παρασκευῆς δὲ αὐτῆς
ἡ λαμπρότης καὶ τῶν ἀναλωμάτων τὸ μέγεθος τίνα
οὐχ ἱκανὸν ἐκπλῆξαι; καίτοι Ξέρξην μὲν ἀκούω τὸν
τὴν Ἀσίαν ἐπὶ τοὺς Ἕλληνας ἐξαναστήσαντα χρόνον
ἐτῶν οὐκ ἐλάσσονα δέκα πρὸς τὸν πόλεμον ἐκεῖνον
παρασκευάζεσθαι, εἶτα ἐπαγαγεῖν πρὸς ταῖς χιλίαις
τριήρεσι διακοσίας ἐκ τούτων αὐτῶν οἶμαι τῶν χω- D
ρίων, ἐξ ὧν αὐτὸς ἐν οὐδὲ ὅλοις μησὶ δέκα ναυπη-
γησάμενος ἤγειρας τὸν στόλον, πλήθει νεῶν ἐκεῖνον
ὑπερβαλλόμενος· τῇ τύχῃ δὲ οὐδὲ ἄξιον συμβαλεῖν
οὐδὲ τοῖς ἔργοις. τὴν δὲ εἰς τὰ λοιπὰ δαπανήματα
μεγαλοπρέπειαν μὴ πολὺ λίαν ἔργον ᾖ φράζειν. οὐδὲ
ὁπόσα ταῖς πόλεσι πάλαι στερομέναις ἀπεδίδους ἀπα-
ριθμούμενος ἐνοχλήσω τὰ νῦν. πλουτοῦσι μὲν γὰρ 43
ἅπασαι διὰ σὲ (διὰ) τῶν ἔμπροσθεν ἐνδεεῖς οὖσαι
καὶ τῶν ἀναγκαίων, ἐπιδίδωσι δὲ τῶν ἰδίων ἕκαστος
οἴκων διὰ τὰς κοινὰς τῶν πόλεων εὐετηρίας. ἀλλὰ
τῶν εἰς τοὺς ἰδιώτας ἄξιον δωρεῶν μεμνῆσθαι. ἐλευ-
θέριόν σε καὶ μεγαλόδωρον βασιλέα προσαγορεύοντα,
ὃς πολλοῖς μὲν στερομένοις πάλαι τῶν αὐτῶν κτημά-
των, τοῦ πατρῴου κλήρου συμφορᾷ περιπεπτωκότος
ἐν δίκῃ καὶ παρὰ δίκην, ἐπειδὴ πρῶτον ἐγένου κύ-
ριος, τοῖς μὲν καθάπερ δικαστὴς ἀγαθὸς τὰ τῶν B
ἔμπροσθεν ἁμαρτήματα διορθωσάμενος κυρίους εἶναι
τῆς αὐτῶν οὐσίας παρέσχες, τοῖς δὲ ἐπιεικὴς κριτὴς

6 et 7 πρὸς ταῖς χιλίαις τριήρεσι διακοσίας V] διακοσίας πρὸς τ. χ. τρ.   9 πλήθει] πλήθει μὲν Rsk.   13 ἀπεδίδους Pet.] ἀπεδίδου   14 ἀπαριθμούμενοι ἐνοχλήσομεν M   15 διὰ σὲ VM] διά σε | διὰ τῶν Wytt.] τῶν V, τὸν v   16 δ' ἐκ τῶν ἰδίων Rsk. At cf. Isocr. 4, 103   20 ὃς] οὓς V | πολλοῖς μὲν στερομένοις Rsk. et Schaef.] πολλοὺς μὲν στερομένους | αὐτῶν VM   22 κύριος om. V   24 κυρίους V] κυρίοις

γενόμενος ταῦτα μὲν ὧν ἀφῄρηντο πάλιν ἐχαρίσω, ἀρκεῖν οἰόμενος τὸ μῆκος τοῦ χρόνου πρὸς τιμωρίαν τοῖς παθοῦσιν· ὅσα δὲ αὐτὸς οἴκοθεν χαριζόμενος πλουσιωτέρους ἀπέφηνας πολλοὺς τῶν πάλαι δοξάντων ἐπὶ τῇ τῶν χρημάτων εὐπορίᾳ σεμνύνεσθαι, τί
C χρὴ νῦν ὑπομιμνήσκοντα περὶ μικρὰ διατρίβειν δοκεῖν; ἄλλως τε καὶ πᾶσιν ὄντος καταφανοῦς, ὅτι μηδεὶς πώποτε πλὴν Ἀλεξάνδρου τοῦ Φιλίππου τοσαῦτα βασιλεὺς τοῖς αὑτοῦ φίλοις διανέμων ὤφθη. ἀλλὰ τοῖς μὲν ὁ τῶν φίλων πλοῦτος τῆς τῶν πολεμίων ῥώμης ὕποπτος ἐφάνη μᾶλλον καὶ φοβερώτερος, ἄλλοι δὲ τὴν τῶν ἀρχομένων εὐγένειαν ὑπιδόμενοι πάντα τρόπον τοὺς εὖ γεγονότας προπηλακίζοντες ἢ
D καὶ ἀναιροῦντες ἄρδην τὰς οἰκίας κοινῇ μὲν ταῖς πόλεσι συμφορῶν, ἰδίᾳ δὲ αὐτοῖς ἀνοσίων ἔργων αἰτιώτατοι κατέστησαν. οὐκ ἀπέσχοντο δὲ ἤδη τινὲς τοῖς τοῦ σώματος ἀγαθοῖς, ὑγιείᾳ φημὶ καὶ κάλλει καὶ εὐεξίᾳ, βασκαίνοντες· ψυχῆς τε ἀρετὴν ἔν τινι τῶν πολιτῶν γενομένην οὐδὲ ἀκούειν ὑπέμενον, ἀλλ' ἦν ἀδίκημα τοῦτο, καθάπερ ἀνδροφονία καὶ κλοπὴ καὶ προδοσία, τὸ δοκεῖν ἀρετῆς μεταποιηθῆναι. καὶ
44 ταῦτα τυχὸν ἀληθῶς οὐ βασιλέων φήσει τις, πονηρῶν δὲ καὶ ἀνελευθέρων τυράννων ἔργα καὶ πράξεις. ἐκεῖνο δὲ ἤδη τὸ πάθος οὐ τῶν ἀνοήτων μόνον, ἀλλά τινων ἐπιεικῶν καὶ πρᾴων ἀνδρῶν ἁψάμενον, τὸ τοῖς φίλοις ἄχθεσθαι πλέον καὶ πολλάκις ἐλαττοῦν ἐθέλειν καὶ τῶν προσηκόντων αὐτοὺς ἀφαιρεῖσθαι,

3 αὐτὸς Rsk.] αὐτοῖς. cf. 44 B   4 πολλοὺς add. V   7 ἄλλως τε V] ἀλλ' ὁμῶς τε   9 αὐτοῦ VM   12 ὑπιδόμενοι H] ὑπειδόμενοι. cf. ad 116 D   15 αὐτοῖς VM   17 ὑγεία VM   18 εὐδοξίᾳ V | τε om. V   22 βασιλέων V] βασιλέως   23 ἔργα τυράννων V   26 πλέον] Post hoc Reiskio ἔχουσι vel τιμωμένοις vel simile quid videtur deesse

τίς ἐπὶ σοῦ λέγειν ἐτόλμησε; τοῦτο καὶ Κῦρόν φασι τὸν Πέρσην γάμβρον ὄντα βασιλέως παρὰ τοῦ κηδεστοῦ παθεῖν ἀχθομένου τῇ παρὰ τοῦ πλήθους εἰς τὸν ἄνδρα τιμῇ, καὶ Ἀγησίλαος δὲ δῆλος ἦν ἀχθό- B μενος τιμωμένῳ παρὰ τοῖς Ἴωσι Λυσάνδρῳ. τούτους οὖν [ὅτι] πάντας ὑπερβαλλόμενος ἀρετῇ, τοῖς πλουτοῦσι μὲν τὸ πλουτεῖν ἀσφαλέστερον ἢ πατὴρ τοῖς αὑτοῦ παισὶ κατέστησας, εὐγενείας δὲ τῆς τῶν ὑπηκόων προνοεῖς καθάπερ ἁπάσης πόλεως οἰκιστὴς καὶ νομοθέτης· καὶ τοῖς ἐκ τῆς τύχης ἀγαθοῖς πολλὰ μὲν προστιθείς, πολλὰ δὲ καὶ αὐτὸς ἐξ ἀρχῆς χαριζόμενος, δῆλος εἶ τῷ μεγέθει μὲν τὰς παρὰ τῶν βασιλέων δωρεὰς ὑπερβαλλόμενος, τῇ βεβαιότητι δὲ τῶν ἅπαξ C δοθέντων τὰς παρὰ τῶν δήμων χάριτας ἀποκρυπτόμενος. τοῦτο δὲ οἶμαι καὶ μάλα εἰκότως συμβαίνει. οἱ μὲν γὰρ ἐφ' οἷς συνίσασιν αὐτοῖς ἀπολειφθεῖσιν ἀγαθοῖς, τοῖς κεκτημένοις βασκαίνουσιν, ὅτῳ δὲ τὰ μὲν ἐκ τῆς τύχης ἐστὶ λαμπρὰ καὶ οἷα οὐδενὶ τῶν ἄλλων, τὰ δὲ ἐκ τῆς προαιρέσεως τῶν ἐκ τῆς τύχης μακρῷ σεμνότερα, οὐκ ἔστιν ὅτου δεόμενος τῷ κεκτημένῳ φθονήσειεν. ὃ δὴ καὶ σαυτῷ μάλιστα πάν- D των ὑπάρχειν ἐγνωκὼς χαίρεις μὲν ἐπὶ τοῖς τῶν ἄλλων ἀγαθοῖς, εὐφραίνει δέ σε τὰ τῶν ὑπηκόων κατορθώματα· καὶ τιμὰς ἐπ' αὐτοῖς τὰς μὲν ἐχαρίσω, τὰς δὲ ἤδη μέλλεις, ὑπὲρ δὲ ἐνίων βουλεύῃ· καὶ οὐκ ἀπόχρη σοι πόλεως μιᾶς οὐδὲ ἔθνους ἑνὸς οὐδὲ πολλῶν ὁμοῦ τοῖς φίλοις ἀρχὰς καὶ τὰς ἐπ' αὐταῖς τιμὰς

1 Κῦρον Wytt.] ὦρον VM, Ὠρόν v 6 ὅτι inclusit H 8 αὑτοῦ Schaef.] αὐτοῦ 9 προνοεῖς ἁπάσης καθάπερ Rsk. 10 τύχης] ψυχῆς V 16 αὑτοῖς VM 17 βασκαίνουσιν VM] βασκαίνουσι 18 τῆς τύχης V] τύχης 19 τὰ δὲ VM] τάδε 21 ἂν post φθονήσειεν addendum 22 ὑπάρχον? 26 πολλῶν] πολλὰς fl. 27 αὐταῖς Rsk.] αὐτοῖς

διανέμειν· ἀλλ' εἰ μὴ καὶ βασιλείας ἕλοιο κοινωνόν, ὑπὲρ ἧς τοσοῦτον ὑπομείνας πόνον τὸ τῶν τυράννων γένος ἀνῄρηκας, οὐδὲν ἄξιον τῶν σαυτοῦ κατορθωμάτων ἔργον ὑπέλαβες. καὶ ὅτι μὴ χρείᾳ μᾶλλον ἢ τῷ χαίρειν πάντα δωρούμενος ἐπὶ ταύτην ὥρμησας τὴν γνώμην, ἅπασιν οἶμαι γνώριμον γέγονε. τῶν μὲν γὰρ πρὸς τοὺς τυράννους ἀγώνων κοινωνὸν οὐχ εἵλου, τῆς τιμῆς δὲ τὸν οὐ μετασχόντα τῶν πόνων ἠξίωσας μεταλαβεῖν μόνον, ὅτε μηδὲν ἔτι φοβερὸν ἐδόκει. καὶ τῆς μὲν οὐδὲ ἐπ' ὀλίγον ἀφελὼν
B δῆλος εἶ, τῶν πόνων δὲ οὐδὲ ἐπὶ σμικρὸν κοινωνεῖν ἀξιοῖς· πλὴν εἴ που δέοι πρὸς ὀλίγον ἑπόμενόν σοι στρατεύεσθαι. πότερον οὖν καὶ περὶ τούτων μαρτύρων τινῶν καὶ τεκμηρίων τῷ λόγῳ προσδεῖ; ἢ δῆλον ἐκ τοῦ λέγοντος, ὅτι μὴ ψευδεῖς ἐπεισάγει λόγους; ἀλλ' ὑπὲρ μὲν τούτων οὐδὲν ἔτι πλέον ἄξιον ἐνδιατρίβειν. σωφροσύνης δὲ ὑπὲρ τῆς σῆς καὶ φρονήσεως καὶ ὅσην εὔνοιαν τοῖς ὑπηκόοις ἐνειργάσω,
C βραχέα διελθεῖν ἴσως οὐκ ἄτοπον. τίς γάρ (σ') ἀγνοεῖ τῶν ἁπάντων τοσαύτην ἐκ παίδων τῆς ἀρετῆς ταύτης ἐπιμέλειαν ἐσχηκότα, ὅσην οὐδεὶς ἄλλος τῶν ἔμπροσθεν; καὶ τῆς μὲν ἐν παισὶ σωφροσύνης μάρτυς ὁ πατὴρ γέγονεν ἀξιόχρεως, σοὶ τὰ περὶ τὴν ἀρχὴν καὶ τὰ πρὸς τοὺς ἀδελφοὺς διοικεῖν ἐπιτρέψας μόνῳ, ὄντι γε οὐδὲ πρεσβυτάτῳ τῶν ἐκείνου παίδων· τῆς δὲ ἐν ἀνδράσιν ἅπαντες αἰσθανόμεθα, καθάπερ
D πολίτου τοῖς νόμοις ὑπακούοντος, ἀλλ' οὐ βασιλέως τῶν νόμων ἄρχοντος, ἀεί σου προσφερομένου τῷ πλήθει καὶ τοῖς ἐν τέλει. τίς γάρ (σ') ἔγνω μεῖζον

8 εἵλω V 9 μόνος V 11 κοινωνεῖν] Vid. ad 17 B 19 ἴσως Cobetus] τέως | σ' add. H 29 σ' add. H

ὑπὸ τῆς εὐτυχίας φρονήσαντα; τίς δὲ ἐπαρθέντα τοῖς κατορθώμασι τοσούτοις [τὸ πλῆθος] καὶ τηλικούτοις ἐν βραχεῖ χρόνῳ γενομένοις; ἀλλὰ τὸν Φιλίππου φασὶν Ἀλέξανδρον, ἐπειδὴ τὴν Περσῶν καθεῖλε δύναμιν, οὐ μόνον τὴν ἄλλην δίαιταν πρὸς ὄγκον μείζονα καὶ λίαν ἐπαχθῆ τοῖς πᾶσιν ὑπεροψίαν μεταβαλεῖν, ἀλλ' ἤδη καὶ τοῦ φύσαντος ὑπερορᾶν καὶ 46 τῆς ἀνθρωπίνης ἁπάσης φύσεως. ἠξίου γὰρ υἱὸς Ἄμμωνος, ἀλλ' οὐ Φιλίππου νομίζεσθαι, καὶ τῶν συστρατευσαμένων ὅσοι μὴ κολακεύειν μηδὲ δουλεύειν ἠπίσταντο τῶν ἑαλωκότων πικρότερον ἐκολάζοντο. ἀλλὰ σοῦ γε τῆς εἰς τὸν πατέρα τιμῆς ἆρα ἄξιον ἐνταῦθα μεμνῆσθαι; ὃν οὐκ ἰδίᾳ μόνον σεβόμενος, ἀεὶ δὲ ἐν τοῖς κοινοῖς συλλόγοις διετέλεις ἀνακηρύττων καθάπερ ἀγαθὸν ἥρωα. τῶν φίλων δέ, ἀξιοῖς B γὰρ αὐτοὺς οὐκ ἄχρις ὀνόματος μόνον τῆς τιμῆς, πολὺ δὲ πλέον διὰ τῶν πραγμάτων βεβαιοῖς ἐπ' αὐτῶν τοὔνομα· ἔστιν οὖν ἆρα τις ὁ μεμφόμενος ἀτιμίαν ἢ ζημίαν ἢ βλάβην ἤ τινα μικρὰν ὑπεροψίαν ἢ μείζονα; ἀλλ' οὐκ ἂν οὐδαμῶς εἰπεῖν ἔχοι τοιοῦτον οὐδέν. τούτων γὰρ οἱ μὲν γηραιοὶ σφόδρα, ταῖς ἀρχαῖς εἰς τὴν εἱμαρμένην τελευτὴν τοῦ βίου παραμείναντες, τὰς ἐπιμελείας τῶν κοινῶν συναπέθεντο τοῖς σώμασι, παισὶν ἢ φίλοις ἤ τισι πρὸς γέ- C νους τοὺς κλήρους παραπέμποντες· ἄλλοι δὲ πρὸς τοὺς πόνους καὶ τὰς στρατείας ἀπαγορεύοντες, ἀφέσεως ἐντίμου τυχόντες, ζῶσιν ὄλβιοι· τινὲς δὲ καὶ

2 τὸ πλῆθος inclusit H, τῷ πλήθει V 4 τὴν Περσῶν VM] τῶν Περσῶν 9 νομίζεσθαι] λογίζεσθαι V 10 συστρατευσαμένων V] συστρατευομένων 11 τῶν ἐλαλωκότων (sic) πικρ. ἐκολ. V] πικρ. ἐκολ. τῶν ἑαλωκότων 12 ἆρα V] ἄρα 18 ἆρα V | ὁ μεμφόμενος V] μεμφόμενος 20 οὐδαμῶς] οὐδ' ἂν εἷς Rsk. 21 οὐδὲ ἓν V 26 στρατιὰς V

μετήλλαξαν, εὐδαίμονες παρὰ τοῦ πλήθους εἶναι κρινόμενοι. ὅλως δὲ οὐκ ἔστιν οὐδὲ εἷς, ὃς ἐπειδὴ ταύτης ἠξιώθη τῆς τιμῆς, εἰ καὶ μοχθηρὸς ὕστερον ἐφάνη, τιμωρίας ἔτυχε μικρᾶς ἢ μείζονος· ἤρκεσε δὲ αὐτὸν ἀπηλλάχθαι μόνον καὶ μηδὲν ἐνοχλεῖν ἔτι.

D Ἐν δὲ τούτοις ἅπασιν ὢν καὶ γεγονὼς τοιοῦτος
ἐξ ἀρχῆς ἡδονῆς ἁπάσης, ᾗ πρόσεστιν ὄνειδος καὶ
μικρόν, καθαρὰν τὴν ψυχὴν διεφύλαξας. μόνον δὲ
οἶμαι σὲ τῶν πρόσθεν αὐτοκρατόρων, σχεδὸν δὲ
πλὴν σφόδρα ὀλίγων καὶ πάντων ἀνθρώπων οὐκ
ἀνδράσι μόνον παράδειγμα πρὸς σωφροσύνην παρα-
σχεῖν κάλλιστον, καὶ γυναιξὶ δὲ τῆς πρὸς τοὺς ἄν-
47 δρας κοινωνίας. ὅσα γὰρ ἐκείναις ἀπαγορεύουσιν οἱ
νόμοι τοῦ γνησίως φύεσθαι τοὺς παῖδας ἐπιμελό-
μενοι, ταῦτα ὁ λόγος ἀπαγορεύει ταῖς ἐπιθυμίαις
παρὰ σοί. ἀλλ' ὑπὲρ μὲν τούτων ἔχων ἔτι πλείονα
λέγειν ἀφίημι. τῆς φρονήσεως δὲ ἄξιον μὲν ἔπαινον
διελθεῖν οὐδαμῶς εὐχερές, μικρὰ δὲ ὅμως καὶ ὑπὲρ
ταύτης ῥητέον. ἔστι δὲ τὰ μὲν ἔργα τῶν λόγων
οἶμαι πιστότερα. οὐ γάρ ἐστιν εἰκὸς τοσαύτην ἀρ-
B χὴν καὶ δύναμιν μὴ παρὰ τῆς ἴσης διοικουμένην
καὶ κρατουμένην φρονήσεως [πρὸς τοσοῦτον μέγεθος
ἀφικέσθαι καὶ κάλλος πράξεων· ἀγαπητὸν δέ, εἰ καὶ
τῇ τύχῃ μόνον δίχα φρονήσεως ἐπιτρεπομένη] ἐπὶ πολὺ

5 ἀπηλλάχθαι V] ἀπηλέχθαι (ἀπηλέγχθαι M) 6 ἐν δὴ V 9 οἶμαι σὲ Schaef.] οἶμαί σε 13 ἀπαγορεύουσιν V] ἀπαγορεύουσι 14 γνησίως V] γνησίους | ἐπιμελόμενοι VM] ἐπιμελούμενοι 16 παρὰ σοὶ VM] παρά σοι 22 Verba πρὸς τοσοῦτον — δίχα φρονήσεως ἐπιτρεπομένη habent V, codex Anglicanus apud Petavium, spanh. (quae πρὸς τοῦτο legit pro πρὸς τοσοῦτον), omittunt M et pet. 24 τῇ τύχῃ Wytt. et Schaef.] τύχη | ἐπὶ πολὺ μένειν om. V Anglic. spanh., μένει emendabat Wytt.

μένειν. ἀνθῆσαι μὲν γὰρ τῇ τύχῃ προσσχόντα πρὸς
βραχὺ ῥᾴδιον, διαφυλάξαι δὲ τὰ δοθέντα ἀγαθὰ
δίχα φρονήσεως οὐ λίαν εὔκολον, μᾶλλον δὲ ἀδύνα-
τον ἴσως. ὅλως δὲ εἰ χρὴ καὶ περὶ τούτων ἐναργὲς
φράζειν τεκμήριον, πολλῶν καὶ γνωρίμων οὐκ ἀπο-
ρήσομεν. τὴν γὰρ εὐβουλίαν ὑπολαμβάνομεν τῶν C
περὶ τὰς πράξεις ἀγαθῶν καὶ συμφερόντων ἐξευρί-
σκειν τὰ κράτιστα. σκοπεῖν οὖν ἄξιον ἐφ' ἁπάντων
ἁπλῶς, εἰ μὴ τοῦθ' ἕν ἐστι τῶν σοι πραχθέντων.
οὐκοῦν ὅπου μὲν ἦν ὁμονοίας χρεία, ἔχαιρες ἐλατ-
τούμενος, ὅπου δὲ τοῖς κοινοῖς ἐχρῆν βοηθεῖν, τὸν
πόλεμον εἵλου προθυμότατα. καὶ Περσῶν μὲν τὴν
δύναμιν καταστρατηγήσας οὐδένα τῶν ὁπλιτῶν ἀπο-
βαλὼν διέφθειρας, τὸν πρὸς τοὺς τυράννους δὲ πό-
λεμον διελὼν τοῦ μὲν ἐκράτησας ταῖς δημηγορίαις, D
καὶ τὴν μετ' ἐκείνου δύναμιν ἀκέραιον καὶ κακῶν
ἀπαθῆ προσλαβὼν κατεπολέμησας μᾶλλον διὰ τῆς
συνέσεως ἢ διὰ τῆς ῥώμης τὸν τοσούτων τοῖς κοινοῖς
αἴτιον συμφορῶν. βούλομαι δὲ σαφέστερον περὶ τού-
των εἰπὼν ἅπασι δεῖξαι, τίνι μάλιστα πιστεύσας [καὶ]
τοσούτοις σαυτὸν ἐπιδοὺς πράγμασιν οὐδενὸς ὅλως
διήμαρτες. εὔνοιαν οἴει δεῖν παρὰ τῶν ὑπηκόων 48
ὑπάρχειν τῷ βασιλεύοντι ἐρυμάτων ἀσφαλέστατον.
ταύτην δὲ ἐπιτάττοντα μὲν καὶ κελεύοντα καθάπερ
εἰσφορὰς καὶ φόρους κτήσασθαι παντελῶς ἄλογον.
λείπεται δὴ λοιπόν, καθάπερ αὐτὸς ὥρμηκας, τὸ

1 προσσχόντα Schaef.] προσχόντα 3 Wytt. suspicatur scribendum esse μᾶλλον δὲ ὅλως ἀδύνατον. εἰ δὲ χρὴ κτλ. 4 τούτων V] τούτων τῶν 9 σοὶ M 12 εἶλω V. Scribendum ἀνείλου. cf. 94 D 95 A 323 D 14 τοὺς om. V 16 μετ' ἐκείνου VM] μὲν ἐκείνου 17 μᾶλλον διὰ τ. συν. V] διὰ τ. συν. μᾶλλον 20 καὶ inclusit H 22 παρὰ τῶν] παράγων V 26 δὴ VM] δὲ | τὸ] τῷ V

πάντας εὖ ποιεῖν καὶ μιμεῖσθαι τὴν θείαν ἐν ἀνθρώποις φύσιν· πράως μὲν ἔχειν πρὸς ὀργήν, τῶν
B τιμωριῶν δὲ ἀφαιρεῖσθαι τὰς χαλεπότητας, πταίσασι δὲ οἶμαι τοῖς ἐχθροῖς ἐπιεικῶς καὶ εὐγνωμόνως προσφέρεσθαι. ταῦτα πράττων, ταῦτα θαυμάζων, ταῦτα τοῖς ἄλλοις προστάττων μιμεῖσθαι τὴν Ῥώμην μέν, ἔτι τοῦ τυράννου κρατοῦντος τῆς Ἰταλίας, διὰ τῆς γερουσίας εἰς Παιονίαν μετέστησας, προθύμους δὲ εἶχες τὰς πόλεις πρὸς τὰς λειτουργίας. τῶν στρατευμάτων δὲ τὴν εὔνοιαν τίς ἂν ἀξίως διηγήσαιτο; τάξις μὲν ἱππέων πρὸ τῆς ἐν τῇ Μύρσῃ παρατάξεως
C μεθειστήκει, ἐπεὶ δὲ τῆς Ἰταλίας ἐκράτησας, πεζῶν κατάλογοι καὶ τέλη λαμπρά. ἀλλὰ τὸ μικρὸν μετὰ τὴν τοῦ τυράννου δυστυχῆ τελευτὴν ἐν Γαλατίᾳ γενόμενον κοινὴν ἁπάντων ἔδειξε στρατοπέδων τὴν εὔνοιαν, τὸν θρασυνόμενον καθάπερ ἐπ' ἐρημίας καὶ τὴν γυναικείαν ἁλουργίδα περιβαλόμενον ὥσπερ τινὰ λύκον ἐξαίφνης διασπασαμένων. ὅστις δὲ ἐπὶ ταύτῃ γέγονας τῇ πράξει, καὶ ὅπως πράως ἅπασι καὶ φιλαν-
D θρώπως τοῖς ἐκείνου γνωρίμοις προσηνέχθης, ὅσοι μηδὲν ἠλέγχοντο ἐκείνῳ συμπράξαντες, πολλῶν ἐφεστηκότων τῇ κατηγορίᾳ συκοφαντῶν, καὶ τὴν πρὸς ἐκεῖνον φιλίαν ὑποπτεύειν μόνον κελευόντων, ἐγὼ μὲν ἁπάσης ἀρετῆς τίθεμαι τὸ κεφάλαιον. καὶ γὰρ ἐπιεικῶς καὶ δικαίως φημὶ καὶ πολὺ πλέον ἐμφρόνως πεπράχθαι. ὅστις δὲ ἄλλως ἡγεῖται καὶ τῆς περὶ

3 χαλεπότητας V] χαλεπωτάτας 10 διηγήσαιτο scribendum aut ἂν delendum esse monuit Schaef., διηγήσηται V, διηγήσεται v 11 τῇ μύρσῃ V] Μύρσῃ 12 ἐπεὶ δὲ Pet.] ἐπειδὴ 17 περιβαλόμενον H] περιβαλλόμενον V, περιτιθέμενον v | τινῶν λύκων? 23 ἐκεῖνον VM] ἐκείνων 24 τὸ] τοῦτο? cf. ad 251 A

τοῦ πράγματος ἀληθοῦς ὑπολήψεως καὶ τῆς σῆς γνώ-
μης διήμαρτε. τοὺς μὲν γὰρ οὐκ ἐλεγχθέντας δίκαιον
ἦν, ὡς εἰκός, σώζεσθαι, ὑπόπτους δὲ τὰς φιλίας καὶ 49
διὰ τοῦτο φευκτὰς οὐδαμῶς ᾤου δεῖν κατασκευάζειν,
ὑπὸ τῆς τῶν ὑπηκόων εὐνοίας ἐς τοῦτο μεγέθους
ἀρθεὶς καὶ πράξεων. ἀλλὰ καὶ τὸν παῖδα τοῦ τετολ-
μηκότος νήπιον κομιδῇ τῆς πατρῴας οὐδὲν εἴασας
μετασχεῖν ζημίας. οὕτω σοι πρός ἐπιείκειαν ἡ πρᾶξις
ῥέπουσα τελείας ἀρετῆς ὑπάρχει γνώρισμα.

1 ἀληθοῦς] ἀγαθῆς V 4 οὔον V 6 καὶ κάλλους τῶν πράξεων Rsk. 9 Non pauca videntur deesse.

ΙΟΥΛΙΑΝΟΥ ΚΑΙΣΑΡΟΣ

ΠΕΡΙ ΤΩΝ ΤΟΥ ΑΥΤΟΚΡΑΤΟΡΟΣ ΠΡΑΞΕΩΝ Η ΠΕΡΙ ΒΑΣΙΛΕΙΑΣ.

Τὸν Ἀχιλλέα φησὶν ἡ ποίησις, ὁπότε ἐμήνισε καὶ διηνέχθη πρὸς τὸν βασιλέα, μεθεῖναι μὲν ταῖν χεροῖν τὴν αἰχμὴν καὶ τὴν ἀσπίδα, ψαλτήριον δὲ ἁρμοσάμενον καὶ κιθάραν ᾄδειν καὶ ὑμνεῖν τῶν ἡμιθέων τὰς πράξεις, καὶ ταύτην διαγωγὴν τῆς ἡσυχίας ποι- D *εῖσθαι, εὖ μάλα ἐμφρόνως τοῦτο διανοηθέντα. τὸ μὲν γὰρ ἀπεχθάνεσθαι καὶ παροξύνειν τὸν βασιλέα λίαν αὔθαδες καὶ ἄγριον· τυχὸν δὲ οὐδὲ ἐκείνης ἀπολύεται τῆς μέμψεως ὁ τῆς Θέτιδος, ὅτι τῷ καιρῷ τῶν ἔργων εἰς ᾠδὰς καταχρῆται καὶ κρούματα, ἐξὸν τότε μὲν ἔχεσθαι τῶν ὅπλων καὶ μὴ μεθιέναι, αὖθις δὲ ἐφ' ἡσυχίας ὑμνεῖν τὸν βασιλέα καὶ ᾄδειν τὰ* 50 *κατορθώματα. οὐ μὴν οὐδὲ τὸν Ἀγαμέμνονά φησιν ὁ πατὴρ ἐκείνων τῶν λόγων μετρίως καὶ πολιτικῶς προσενεχθῆναι τῷ στρατηγῷ, ἀλλ' ἀπειλῇ τε χρῆσθαι καὶ ἔργοις ὑβρίζειν, τοῦ γέρως ἀφαιρούμενον. συνάγων δὲ αὐτοὺς ἐς ταὐτὸν ἀλλήλοις ἐπὶ τῆς ἐκκλησίας μεταμελομένους, τὸν μὲν τῆς Θέτιδος ἐκβοῶντα*

1 *Ἰουλιανοῦ καίσαρος* V] *Ἰουλιανοῦ*   3 *ἢ περὶ βασιλείας* add. VM   8 *διαγωγὴν* VM] *τὴν διαγωγὴν*   12 *ὁ τῆς*] *τὸν τῆς* VM   20 *ἐς* V] *εἰς*   21 *μεταμελομένους* V] *μεταμελουμένους*

Ἀτρείδη, ἦ ἄρ τι τόδ' ἀμφοτέροισιν ἄρειον
Ἔπλετο, σοὶ καὶ ἐμοί,

εἶτα ἐπαρώμενον τῇ προφάσει τῆς ἀπεχθείας καὶ ἀπ- B
αριθμούμενον τὰς ἐκ τῆς μήνιδος ξυμφοράς, τὸν βασιλέα δὲ αἰτιώμενον Δία καὶ Μοίρας καὶ Ἐρινύν, δοκεῖ μοι διδάσκειν, ὥσπερ ἐν δράματι τοῖς προκειμένοις ἀνδράσιν οἷον εἰκόσι χρώμενος, ὅτι χρὴ τοὺς μὲν βασιλέας μηδὲν ὕβρει πράττειν μηδὲ τῇ δυνάμει πρὸς ἅπαν χρῆσθαι μηδὲ ἐφιέναι τῷ θυμῷ, καθάπερ ἵππῳ θρασεῖ χήτει χαλινοῦ καὶ ἡνιόχου φερομένῳ, παραινεῖν δὲ αὖ τοῖς στρατηγοῖς ὑπεροψίαν βασιλικὴν μὴ δυσχεραίνειν, φέρειν δὲ ἐγκρατῶς C
καὶ πρᾴως τὰς ἐπιτιμήσεις, ἵνα μὴ μεταμελείας αὐτοῖς ὁ βίος μεστὸς ᾖ. ταῦτα κατ' ἐμαυτὸν ἐννοῶν, ὦ φίλε βασιλεῦ, καὶ σὲ μὲν ὁρῶν ἐπὶ τῶν ἔργων τὴν Ὁμηρικὴν παιδείαν ἐπιδεικνύμενον καὶ ἐθέλοντα πάντως κοινῇ τε ἅπαντας ἀγαθόν τι δρᾶν, ἡμῖν δὲ ἰδίᾳ τιμὰς καὶ γέρα ἄλλα ἐπ' ἄλλοις παρασκευάζοντα, τοσούτῳ δὲ οἶμαι κρείττονα τοῦ τῶν Ἑλλήνων βασιλέως εἶναι ἐθέλοντα, ὥστε ὁ μὲν ἠτίμαζε τοὺς ἀρίστους, σὺ δὲ οἶμαι καὶ τῶν φαύλων πολλοῖς τὴν συγγνώμην νέμεις, τὸν Πιττακὸν ἐπαινῶν τοῦ λόγου, D
ὃς τὴν συγγνώμην τῆς τιμωρίας προυτίθει, αἰσχυνοίμην ἄν, εἰ μὴ τοῦ Πηλέως φαινοίμην εὐγνωμονέστερος καὶ ἐπαινοίην εἰς δύναμιν τὰ προσόντα σοι, οὔτι φημὶ χρυσὸν καὶ ἁλουργῆ χλαῖναν, οὐδὲ

1 Iliad. τ, 56 | ἦτ' ἆρ τόδ' M 2 ἔπλετο σοὶ V] ἔπλετό σοι 4 ξυμφορὰς V] 'συμφορὰς 5 Ερινύν H] Ἐρινν῀υν. Malim vero etiam aut *Μοῖραν*, quod apud Homerum vs. 87 legitur, aut *Ερινῦς* 9 πρὸς ἅπαν χρῆσθαι V] χρῆσθαι πρὸς ἅπαν 11 αὐτοῖς V 17 κοινῇ τε legitur etiam 157 D; at utroque loco praestat *κοινῇ μέν*. cf. 43 D 51 D 24 ἄν H] δ' V, δὲ v, om. M 25 καὶ] μηδὲ H

ΙΟΥΛΙΑΝΟΥ ΚΑΙΣΑΡΟΣ

ΠΕΡΙ ΤΩΝ ΤΟΥ ΑΥΤΟΚΡΑΤΟΡΟΣ ΠΡΑΞΕΩΝ Η ΠΕΡΙ ΒΑΣΙΛΕΙΑΣ.

Τὸν Ἀχιλλέα φησὶν ἡ ποίησις, ὁπότε ἐμήνισε καὶ διηνέχθη πρὸς τὸν βασιλέα, μεθεῖναι μὲν ταῖν χεροῖν τὴν αἰχμὴν καὶ τὴν ἀσπίδα, ψαλτήριον δὲ ἁρμοσάμενον καὶ κιθάραν ᾄδειν καὶ ὑμνεῖν τῶν ἡμιθέων τὰς πράξεις, καὶ ταύτην διαγωγὴν τῆς ἡσυχίας ποι- D *εῖσθαι, εὖ μάλα ἐμφρόνως τοῦτο διανοηθέντα. τὸ μὲν γὰρ ἀπεχθάνεσθαι καὶ παροξύνειν τὸν βασιλέα λίαν αὔθαδες καὶ ἄγριον· τυχὸν δὲ οὐδὲ ἐκείνης ἀπολύεται τῆς μέμψεως ὁ τῆς Θέτιδος, ὅτι τῷ καιρῷ τῶν ἔργων εἰς ᾠδὰς καταχρῆται καὶ κρούματα, ἐξὸν τότε μὲν ἔχεσθαι τῶν ὅπλων καὶ μὴ μεθιέναι, αὖθις δὲ ἐφ' ἡσυχίας ὑμνεῖν τὸν βασιλέα καὶ ᾄδειν τὰ* 50 *κατορθώματα. οὐ μὴν οὐδὲ τὸν Ἀγαμέμνονά φησιν ὁ πατὴρ ἐκείνων τῶν λόγων μετρίως καὶ πολιτικῶς προσενεχθῆναι τῷ στρατηγῷ, ἀλλ' ἀπειλῇ τε χρῆσθαι καὶ ἔργοις ὑβρίζειν, τοῦ γέρως ἀφαιρούμενον. συνάγων δὲ αὐτοὺς ἐς ταὐτὸν ἀλλήλοις ἐπὶ τῆς ἐκκλησίας μεταμελομένους, τὸν μὲν τῆς Θέτιδος ἐκβοῶντα*

1 *Ἰουλιανοῦ καίσαρος* V] *Ἰουλιανοῦ*   3 *ἢ περὶ βασιλείας* add. VM   8 *διαγωγὴν* VM] *τὴν διαγωγὴν*   12 *ὁ τῆς*] *τὸν τῆς* VM   20 *ἐς* V] *εἰς*   21 *μεταμελομένους* V] *μεταμελουμένους*

Ἀτρείδη, ἦ ἄρ τι τόδ' ἀμφοτέροισιν ἄρειον
Ἔπλετο, σοὶ καὶ ἐμοί,

εἶτα ἐπαρώμενον τῇ προφάσει τῆς ἀπεχθείας καὶ ἀπαριθμούμενον B τὰς ἐκ τῆς μήνιδος ξυμφοράς, τὸν βασιλέα δὲ αἰτιώμενον Δία καὶ Μοίρας καὶ Ἐρινύν, δοκεῖ μοι διδάσκειν, ὥσπερ ἐν δράματι τοῖς προκειμένοις ἀνδράσιν οἷον εἰκόσι χρώμενος, ὅτι χρὴ τοὺς μὲν βασιλέας μηδὲν ὕβρει πράττειν μηδὲ τῇ δυνάμει πρὸς ἅπαν χρῆσθαι μηδὲ ἐφιέναι τῷ θυμῷ, καθάπερ ἵππῳ θρασεῖ χήτει χαλινοῦ καὶ ἡνιόχου φερομένῳ, παραινεῖν δὲ αὖ τοῖς στρατηγοῖς ὑπεροψίαν βασιλικὴν μὴ δυσχεραίνειν, φέρειν δὲ ἐγκρατῶς C καὶ πράως τὰς ἐπιτιμήσεις, ἵνα μὴ μεταμελείας αὐτοῖς ὁ βίος μεστὸς ᾖ. ταῦτα κατ' ἐμαυτὸν ἐννοῶν, ὦ φίλε βασιλεῦ, καὶ σὲ μὲν ὁρῶν ἐπὶ τῶν ἔργων τὴν Ὁμηρικὴν παιδείαν ἐπιδεικνύμενον καὶ ἐθέλοντα πάντως κοινῇ τε ἅπαντας ἀγαθόν τι δρᾶν, ἡμῖν δὲ ἰδίᾳ τιμὰς καὶ γέρα ἄλλα ἐπ' ἄλλοις παρασκευάζοντα, τοσούτῳ δὲ οἶμαι κρείττονα τοῦ τῶν Ἑλλήνων βασιλέως εἶναι ἐθέλοντα, ὥστε ὁ μὲν ἠτίμαζε τοὺς ἀρίστους, σὺ δὲ οἶμαι καὶ τῶν φαύλων πολλοῖς τὴν συγγνώμην νέμεις, τὸν Πιττακὸν ἐπαινῶν τοῦ λόγου, D ὃς τὴν συγγνώμην τῆς τιμωρίας προυτίθει, αἰσχυνοίμην ἄν, εἰ μὴ τοῦ Πηλέως φαινοίμην εὐγνωμονέστερος καὶ ἐπαινοίην εἰς δύναμιν τὰ προσόντα σοι, οὔτι φημὶ χρυσὸν καὶ ἁλουργῆ χλαῖναν, οὐδὲ

1 Iliad. τ, 56 | ἦτ' ἄρ τόδ' M 2 ἔπλετο σοὶ V] ἔπλετό σοι 4 ξυμφορὰς V] συμφορὰς 5 Ερινύν H] Ἐρινῦν. Malim vero etiam aut *Μοῖραν*, quod apud Homerum vs. 87 legitur, aut Ερινῦς 9 πρὸς ἅπαν χρῆσθαι V] χρῆσθαι πρὸς ἅπαν 11 αὐτοῖς V 17 κοινῇ τε legitur etiam 157 D; at utroque loco praestat κοινῇ μέν. cf. 43 D 51 D 24 ἂν H] δ' V, δὲ v, om. M 25 καὶ] μηδὲ H

μὰ Δία πέπλους παμποικίλους, γυναικῶν ἔργα Σιδωνίων, οὐδὲ ἵππων Νισαίων κάλλη καὶ χρυσοκολ-
51 λήτων ἁρμάτων ἀστράπτουσαν αἴγλην, οὐδὲ τὴν Ἰνδῶν λίθον εὐανθῆ καὶ χαρίεσσαν. καίτοι γε εἴ τις ἐθέλοι τούτοις τὸν νοῦν προσέχων ἕκαστον ἀξιοῦν λόγου, μικροῦ πᾶσαν οἶμαι τὴν Ὁμήρου ποίησιν ἀποχετεύσας ἔτι δεήσεται λόγων, καὶ οὐκ ἀποχρήσει σοὶ μόνῳ τὰ ξύμπασι ποιηθέντα τοῖς ἡμιθέοις ἐγκώμια. ἀρξώμεθα δὲ ἀπὸ τοῦ σκήπτρου πρῶτον, εἰ βούλει, καὶ τῆς βασιλείας αὐτῆς. τί γὰρ δή φησιν
B ὁ ποιητὴς ἐπαινεῖν ἐθέλων τῆς τῶν Πελοπιδῶν οἰκίας τὴν ἀρχαιότητα καὶ τὸ μέγεθος τῆς ἡγεμονίας ἐνδείξασθαι;

Ἀνὰ δὲ κρείων Ἀγαμέμνων
Ἔστη σκῆπτρον ἔχων, τὸ μὲν Ἥφαιστος κάμε τεύχων, καὶ ἔδωκε Διί, ὁ δὲ τῷ τῆς Μαίας καὶ ἑαυτοῦ παιδί, Ἑρμείας δὲ ἄναξ δῶκε [, ὁ δὲ] Πέλοπι, Πέλοψ δὲ
δῶκ' Ἀτρέι ποιμένι λαῶν.
Ἀτρεὺς δὲ θνήσκων ἔλιπε πολύαρνι Θυέστῃ·
C Αὐτὰρ ὅγ' αὖτε Θυέστ' Ἀγαμέμνονι δῶκε φορῆναι,
Πολλῇσιν νήσοισι καὶ Ἄργεϊ παντὶ ἀνάσσειν.

αὕτη σοι τῆς Πελοπιδῶν οἰκίας ἡ γενεαλογία, εἰς τρεῖς οὐδὲ ὅλας μείνασα γενεάς· τά γε μὴν τῆς ἡμε-

2 ἵππων VM] τῶν ἵππων | νισσαίων V 4 λίθον VM] λίθων 5 ἐθέλει V | ἀξιῶν V 6 σμικροῦ V 7 ἀποχρήσοι μόνω V 8 ξύμπασι V] σύμπασι 9 πρῶτον H] πρότερον 12 τῆς ἡγεμονίας VM] ἡγεμονίας 14 ἀνὰ VM, ut Iliad. β, 101 legitur, ἂν v 16 et 17 καὶ ἑαυτοῦ — ἄναξ δῶκε om. cantocl. et fl. 17 δῶκε — Πέλοψ δὲ om. VM, ὁ δὲ cum Reiskio inclusi 21 ὅ γ'] ὃ Hom. | δῶκε] λεῖπε Hom. 23 πολλῇσι VM 24 σοι] τοι H

τέρας ξυγγενείας ἤρξατο μὲν ἀπὸ Κλαυδίου, μικρὰ
δὲ ἐν μέσῳ διαλιπούσης τῆς ἡγεμονίας τῷ πάππῳ
τῷ σῷ διαδέχεσθον. καὶ ὁ μὲν τῆς μητρὸς πατὴρ
τὴν Ῥώμην διῴκει καὶ τὴν Ἰταλίαν, καὶ τὴν Λιβύην D
τε ἐπ' αὐτῇ, καὶ Σαρδὼ καὶ Σικελίαν, οὔτι φαυλο-
τέραν τῆς Ἀργείας καὶ Μυκηναίας δυναστείαν, ὅ γε
μὴν τοῦ πατρὸς γεννήτωρ Γαλατίας ἔθνη τὰ μαχι-
μώτατα καὶ τοὺς Ἑσπερίους Ἴβηρας καὶ τὰς ἐντὸς
Ὠκεανοῦ νήσους, αἳ τοσούτῳ μείζους τῶν ἐν τῇ θα-
λάττῃ τῇ καθ' ἡμᾶς ὁρωμένων εἰσίν, ὅσῳ καὶ τῆς
εἴσω θαλάττης ἡ τῶν Ἡρακλείων στηλῶν ὑπερχεο-
μένη. ταύτας δὲ ὅλας τὰς χώρας καθαρὰς ἀπέφηναν
πολεμίων, κοινῇ μὲν ἐπιστρατεύοντες, εἴ ποτε τούτου 52
δεήσειεν, ἐπιφοιτῶντες δὲ ἔστιν ὅτε καὶ κατ' ἰδίαν
ἕκαστος τῶν ὁμόρων βαρβάρων ὕβριν τε καὶ ἀδικίαν
ἐξέκοπτον. ἐκεῖνοι μὲν δὴ τούτοις ἐκοσμοῦντο. ὁ
πατὴρ δὲ τὴν μὲν προσήκουσαν αὐτῷ μοῖραν μάλα
εὐσεβῶς καὶ ὁσίως ἐκτήσατο, περιμείνας τὴν εἱμαρ-
μένην τελευτὴν τοῦ γεγεννηκότος, τὰ λοιπὰ δὲ ἀπὸ
βασιλείας εἰς τυραννίδας ὑπενεχθέντα δουλείας ἔπαυσε
χαλεπῆς, καὶ ἦρξε συμπάντων τρεῖς ὑμᾶς τοὺς αὑτοῦ B
παῖδας προσελόμενος ξυνάρχοντας. ἆρ' οὖν ἄξιον
μέγεθος δυνάμεως παραβαλεῖν καὶ τὸν ἐν τῇ δυνα-
στείᾳ χρόνον καὶ πλῆθος [τῶν] βασιλευσάντων; ἢ
τοῦτο μέν ἐστιν ἀληθῶς ἀρχαῖον, μετιτέον δὲ ἐπὶ

1 ξυγγενείας VM] συγγενείας 2 δὲ] μὲν V | διαλειπούσης V | τῷ πάππῳ VM] πάππῳ 5 et 6 φαυλοτέραν VM] φαυλοτέρας 6 δυναστείαν H] δυναστείας 7 γεννήτωρ VM] γεννήτηρ pet., γεννητὴς spanh. 19 τοῦ γεγηρακότος cant. et fl. 21 συμπάντων V] ξυμπάντων | αὑτοῦ H] αὐτοῦ 22 προσελόμενος Horkelius] προελόμενος 23 παραβαλεῖν H] παραβάλλειν. cf. 29 B 32 C 52 D 53 C 67 A 74 A 320 C 24 τῶν om. V

τὸν πλοῦτον καὶ θαυμαστέον σου τὴν χλαμύδα ξὺν τῇ πόρπῃ, ἃ δὴ καὶ Ὁμήρῳ διατριβὴν παρέσχεν ἡδεῖαν; λόγου τε ἀξιωτέον πολλοῦ τὰς Τρωὸς ἵππους, αἳ τρισχίλιαι οὖσαι

C ἕλος κάτα βουκολέοντο,

καὶ τὰ φώρια τὰ ἐντεῦθεν; ἢ τοὺς Θρακίους ἵππους εὐλαβησόμεθα λευκοτέρους μὲν τῆς χιόνος, θεῖν δὲ ὠκυτέρους τῶν χειμερίων πνευμάτων, καὶ τὰ ἐν αὐτοῖς ἅρματα; καὶ ἔχομέν σε ἐν τούτοις ἐπαινεῖν, οἰκίαν τε οἶμαι τὴν Ἀλκίνου καὶ τὰ τοῦ Μενέλεω δώματα καταπληξάμενα καὶ τὸν τοῦ πολύφρονος Ὀδυσσέως παῖδα καὶ τοιαῦτα ληρεῖν ἀναπείσαντα

D τοῖς σοῖς παραβαλεῖν ἀξιώσομεν, μή ποτε ἄρα ἔλασσον ἔχειν ἐν τούτοις δοκῇς, καὶ οὐκ ἀπωσόμεθα τὴν φλυαρίαν; ἀλλ' ὅρα μή τις ἡμᾶς μικρολογίας καὶ ἀμαθίας τῶν ἀληθῶς καλῶν γραψάμενος ἕλῃ. οὐκοῦν ἀφέντας χρὴ τοῖς Ὁμηρίδαις τὰ τοιαῦτα πολυπραγμονεῖν ἐπὶ τὰ τούτων ἐγγυτέρω πρὸς ἀρετήν, καὶ ὧν μείζονα ποιεῖ προμήθειαν, σώματος ῥώμης καὶ τῆς ἐν τοῖς ὅπλοις ἐμπειρίας, θαρρούντως ἰέναι. τίνι δήποτε οὖν τῶν ὑπὸ τῆς Ὁμηρικῆς ὑμνουμένων

53 σειρῆνος εἴξομεν; ἔστι μὲν γὰρ τοξότης παρ' αὐτῷ Πάνδαρος, ἀνὴρ ἄπιστος καὶ χρημάτων ἥττων, ἀλλὰ καὶ ἀσθενὴς τὴν χεῖρα καὶ ὁπλίτης φαῦλος, Τεῦκρός τε ἐπ' αὐτῷ καὶ Μηριόνης, ὁ μὲν ἐπὶ τῆς πελειάδος

1 ξὺν VM] σὺν 2 παρέσχεν V] παρέσχον 4 αἳ V] αἱ 5 κάτα βουκολέοντο V et Iliad. υ, 221] κατὰ βουκολέοντο (καταβουκολέοντο M) 6 φώρια V] φόρια | Θρακίους V] Θρακείους 8 ἐν] ἐπ' Pet. 9 ἔχομεν] οὐχ ὁ μέν V, οὐκ ἐώμενοι Bruno Friederich 10 ἀλκίνου V] Ἀλκινόου 11 τὸν om. V 12 ἀναπείσαντα] παραπείσαντα M cant. pet. 15 ὥρα V] | ὑμᾶς V 18 πελιάδος V

τῷ τόξῳ χρώμενος, ὁ δὲ ἠρίστευε μὲν ἐν τῇ μάχῃ, ἐδεῖτο δὲ ὥσπερ ἐρύματος καὶ τειχίου. ταῦτά τοι καὶ προβάλλεται τὴν ἀσπίδα, οὔτι τὴν οἰκείαν, τἀδελφοῦ δέ, καὶ στοχάζεται καθ' ἡσυχίαν τῶν πολεμίων, γελοῖος ἀναφανεὶς στρατιώτης. ὅς γε ἐδεῖτο μείζονος φύλακος καὶ οὐκ ἐν τοῖς ὅπλοις ἐποιεῖτο B τῆς σωτηρίας τὰς ἐλπίδας. σὲ δῆτα ἐθεασάμην, ὦ φίλε βασιλεῦ, ἄρκτους καὶ παρδάλεις καὶ λέοντας συχνοὺς καταβάλλοντα τοῖς ἀφιεμένοις βέλεσι, χρώμενον δὲ πρὸς θήραν καὶ παιδιὰν τόξῳ, ἐπὶ δὲ τῆς παρατάξεως ἀσπίς ἐστί σοι καὶ θώραξ καὶ κράνος· καὶ οὐκ ἂν καταδείσαιμι τὸν Ἀχιλλέα τοῖς Ἡφαιστείοις λαμπρυνόμενον καὶ ἀποπειρώμενον αὐτοῦ καὶ τῶν ὅπλων,

Εἴ οἱ ἐφαρμόσσειε, καὶ ἐντρέχοι ἀγλαὰ γυῖα· C

ἀνακηρύττει γὰρ εἰς ἅπαντας τὴν σὴν ἐμπειρίαν τὰ κατορθώματα. τήν γε μὴν ἱππικὴν καὶ τὴν ἐν τοῖς δρόμοις κουφότητα ἆρά σοι παραβαλεῖν ἄξιον τῶν πρόσθεν τοὺς ἀραμένους ὄνομα καὶ δόξαν μείζονα; ἢ τὸ μὲν οὐδὲ ηὕρητό πω; ἅρμασι γὰρ ἐχρῶντο καὶ οὔπω πώλοις ἄζυξι· τάχει δὲ ὅστις διήνεγκε, τούτῳ πρὸς σὲ γέγονεν ἀμφήριστος κρίσις· τάξιν δὲ κοσμῆσαι καὶ φάλαγγα διατάξαι καλῶς δοκεῖ Μενεσθεὺς κράτιστος, D καὶ τούτῳ διὰ τὴν ἡλικίαν ὁ Πύλιος οὐχ ὑφίεται τῆς ἐμπειρίας. ἀλλὰ τῶν μὲν οἱ πολέμιοι πολλάκις τὰς τάξεις συνετάραξαν, καὶ οὐδὲ

4 τἀδελφοῦ V] τοῦ ἀδελφοῦ 8 φίλε om. V 9 καταβάλλοντα V] καταβαλόντα 10 παιδιὰν fl.] παιδείαν. cf. 124 D 12 καταδείσαιμι V] καταδείσαιμεν 13 αὐτοῦ M, om. V 15 Iliad. τ, 385 | εἴ οἱ M, εἰ οἱ v, εἰ οἱ Hom. | ἐφαρμόσειε VM 16 ἅπαντας H] ἅπαντα 18 παραβάλλειν V 20 εὕρητό πω M 21 ἄζυξιν V 22 πρὸς σὲ γέγονεν Rsk.] προσγέγονεν 23 ἐδόκει Rsk.

νεῶν καὶ ἐπιβεβηκὼς τῶν ἰκρίων ἴσως ἂν τυγχάνοι τινὸς ἀξίας εἰκόνος. ἐθέλω δὲ ὑμῖν διηγεῖσθαι τὴν ἐπὶ τῷ ποταμῷ μάχην, ἣν ἠγωνίσατο βασιλεὺς ἔναγχος. ἴστε δὲ ὅθεν ὁ πόλεμος ἐξερράγη, καὶ ὅτι ξὺν δίκῃ καὶ οὐ τοῦ πλείονος ἐπιθυμίᾳ διεπολεμήθη. κωλύει δὲ οὐδὲν ὑπομνησθῆναι δι' ὀλίγων.

Ἀνὴρ ἄπιστος καὶ θρασὺς τῆς οὐ προσηκούσης
D ὀρεχθεὶς ἡγεμονίας κτείνει τὸν ἀδελφὸν βασιλέως καὶ τῆς ἀρχῆς κοινωνόν, καὶ ἤρετο λαμπραῖς ταῖς ἐλπίσιν, ὡς τὸν Ποσειδῶνα μιμησόμενος καὶ ἀποφανῶν οὐ μῦθον τὸν Ὁμήρου λόγον, παντὸς δὲ ἀληθῆ μᾶλλον, ὅς ἔφη περὶ τοῦ θεοῦ

Τρὶς μὲν ὀρέξατ' ἰών, τὸ δὲ τέτρατον ἵκετο τέκμωρ,
Αἰγάς,

καὶ ὡς ἐντεῦθεν τὴν πανοπλίαν ἀναλαβὼν καὶ ὑποζεύξας τοὺς ἵππους διὰ τοῦ πελάγους ἐφέρετο.

56 Γηθοσύνῃ δὲ θάλασσα διίστατο· τοὶ δ' ἐπέτοντο
Ῥίμφα μάλ', οὐδ' ὑπένερθε διαίνετο χάλκεος ἄξων,

ἅτε οὐδενὸς ἐμποδὼν ὄντος, πάντων δὲ ἐξισταμένων καὶ ὑποχωρούντων ἐν χαρμονῇ. οὔκουν οὐδὲν αὐτῷ πολέμιον οὐδὲ ἀντίπαλον ᾤετο καταλιπέσθαι, οὐδὲ αὐτὸν κατείργειν οὐδὲ ἓν τὸ μὴ ἐπὶ τοῦ Τίγρητος στῆναι ταῖς ἐκβολαῖς. εἵπετο δὲ αὐτῷ πολὺς μὲν

1 ἐπιβεβηκὼς VM] ὑπερβεβηκὼς 5 ξὺν VM] σὺν | πλέονος V 8 τὸν H] τε 10 μιμησόμενος M] μιμησάμενος | ἀποφανῶν Pet. in ed. fl.] ἀποφαίνων 13 Iliad. ν, 20 | τέταρτον VM 17 Iliad. ν, 29 20 οὔκουν V] οὐκοῦν | οὐδὲν H] οὐδὲ | αὐτῷ et 22 αὐτὸν H] αὐτῷ et αὐτὸν 22 τὸ μὴ H] τω (sine accentu) μὴ M, τῷ μὴ cant. et fl., τοῦ μὴ v 23 ἐκβολαῖς V] ἐμβολαῖς

ὁπλίτης πεζός, ἱππεῖς δὲ οὐχ ἧττους, ἀλλ' οἵπερ ἄλ- B κιμοι, Κελτοὶ καὶ Ἴβηρες Γερμανῶν τε οἱ πρόσοικοι Ῥήνῳ καὶ τῇ θαλάττῃ τῇ πρὸς ἑσπέραν, ἣν εἴτε Ὠκεανὸν χρὴ καλεῖν εἴτε Ἀτλαντικὴν θάλατταν εἴτε ἄλλῃ τινὶ χρῆσθαι προσωνυμίᾳ προσῆκον, οὐκ ἰσχυρίζομαι· πλὴν ὅτι δὴ αὐτῇ προσοικεῖ δύσμαχα καὶ ῥώμῃ διαφέροντα τῶν ἄλλων ἐθνῶν γένη βαρβάρων, οὐκ ἀκοῇ μόνον, ἧπερ δὴ τυγχάνει πίστις οὐκ ἀσφαλής, ἀλλ' αὐτῇ πείρᾳ τοῦτο ἐκμαθὼν οἶδα. τούτων C δὴ τῶν ἐθνῶν ἐξαναστήσας οὐκ ἔλαττον πλῆθος τῆς οἴκοθεν αὐτῷ ξυνεπομένης στρατιᾶς, μᾶλλον δὲ τὸ μὲν ὡς οἰκεῖον εἵπετο πολὺ καὶ αὐτῷ ξύμφυλον, τὸ δὲ ἡμέτερον· οὕτω γὰρ καλεῖν ἄξιον· ὁπόσον Ῥωμαίων βίᾳ καὶ οὐ γνώμῃ ξυνηκολούθησεν, ἐοικὸς ἐπικούροις καὶ μισθοφόροις, ἐν Καρὸς εἵπετο τάξει καὶ σχήματι, δύσνουν μέν, ὡς εἰκός, βαρβάρῳ καὶ ξένῳ, μέθῃ καὶ κραιπάλῃ τὴν δυναστείαν περιφρονήσαντι καὶ ἀνελομένῳ, ἄρχοντι δέ, ὥσπερ ἦν ἄξιον D τὸν ἐκ τοιούτων προοιμίων καὶ προνομίων ἀρξάμενον. ἡγεῖτο δὲ αὐτὸς οὔτι κατὰ τὸν Τυφῶνα, ὃν ἡ ποιητικὴ τερατεία φησὶ τῷ Διὶ χαλεπαίνουσαν τὴν γῆν ὠδῖναι, οὐδὲ ὡς γιγάντων ὁ κράτιστος, ἀλλ' οἵαν ὁ σοφὸς ἐν μύθοις Πρόδικος τὴν Κακίαν δημιουργεῖ πρὸς (τὴν) Ἀρετὴν διαμιλλωμένην καὶ ἐθέλουσαν τὸν τοῦ Διὸς ἀναπείθειν παῖδα, ὅτι ἄρα αὐτῷ μάλιστα πάντων τιμητέα εἴη. προάγων δὲ ἐπὶ

1 ἀλλ' ὅτιπερ ἄλκιμον Rsk. 3 ῥήνω VM] τῷ Ῥήνῳ 4 θάλασσαν M 8 μόνον H] μόνῃ | ἧπερ Heylerus 9 τοῦτο] φασὶν M 11 ξυνεπομένης V] ξυνεφεπομένης 12 αὐτὸ (τὸ in rasura) V 13 ὁπόσον Pet.] ὅπως 15 ἐν Καρὸς εἵπετο τάξει] Cf. Suidas s. ἐν Καρός 18 ἦν] οὖν M, fortasse recte; vid. tamen 59 B 21 ἡ] δὴ V | τῷ Διὶ om. M 22 ὠδίναι V 24 τὴν Ἀρετὴν H] ἀρετὴν

M. ANTONINUS.


600093265V





ΜΑΡΚΟΥ ΑΝΤΩΝΙΝΟΥ

ΠΑΛΑΙ ΜΕΝ

ΑΥΤΟΚΡΑΤΟΡΟΣ ΡΩΜΑΙΟΥ

Δυναςευοντος δ'ετι νυν, και εισαει

ΣΕΒΑΣΤΟΥ

Επικλησει Τιμιωτερα

ΑΥΤΟΚΡΑΤΟΡΟΣ ΣΤΩΙΚΟΥ, ΤΑ ΕΙΣ 'ΕΑΥΤΟΝ.

SIVE

AD SEIPSUM COMMENTARII MORALES.

RECENSUIT, DENUO ORDINAVIT, EXPURGAVIT, RESTITUIT, NOTIS ILLUSTRAVIT,

AC NE AUCTOR *Ηθοσοφιας ασκητικης, αυταρκους,* ISTE PRÆSTANTISSIMUS, IDEM MENDOSISSIMUS, PROUT HACTENUS PRODIRET, SUMMO STUDIO PROCURAVIT

C. L. PORCHER.

N. EBORACI, U. S., A. D., 1861.
A. LIBERATÆ REIP, 1.

JOHN F. TROW, PRINTER, 50 GREENE STREET.

ΜΑΡΚΟΥ ΑΝΤΩΝΙΝΟΥ

ΠΑΛΑΙ ΜΕΝ

ΑΥΤΟΚΡΑΤΟΡΟΣ ΡΩΜΑΙΟΥ

Δυναςευοντος δ'ετι νυν, και εισαει

ΣΕΒΑΣΤΟΥ

Επικλησει Τιμιωτερα

ΑΥΤΟΚΡΑΤΟΡΟΣ ΣΤΩΙΚΟΥ,
ΤΑ ΕΙΣ ἙΑΥΤΟΝ.

SIVE

AD SEIPSUM COMMENTARII MORALES.

RECENSUIT, DENUO ORDINAVIT, EXPURGAVIT,
RESTITUIT, NOTIS ILLUSTRAVIT,

AC NE AUCTOR *Ηθοσοφιας ασκητικης, αυταρκους,*
ISTE PRÆSTANTISSIMUS, IDEM MENDOSISSIMUS,
PROUT HACTENUS PRODIRET, SUMMO
STUDIO PROCURAVIT

C. L. PORCHER.

N. EBORACI, U. S., A. D., 1861.
A. LIBERATÆ REIP, 1.

JOHN F. TROW, PRINTER, 50 GREENE STREET.

ΜΑΡΚΟΥ ΑΝΤΩΝΙΝΟΥ ΑΥΤΟΚΡΑΤΟΡΟΣ

Των εις εαυτον.

ΒΙΒΛΙΟΝ Α.

ΠΑΡΑ[a] του παππου Ουηρου το (εκηλοηθες)[1] και αοργητον· Παρα της δοξης και μνημης της περι του γεννησαντος το αιδημον και αρρενικον.

2. Παρα της μητρος το θεοσεβες και μεταδοτικον και (αφεκτικον) ου μονον του κακοποιειν αλλα και του επι εννοιας γενεσθαι τοιαυτης· ετι δε το λιτον κατα την διαιταν, και πορρω της πλουσιακης διαγωγης.

3. Παρα του προπαππου το μη εις δημοσιας διατριβας φοιτησαι, και το αγαθοις διδασκαλοις κατ᾽ οικον χρησασθαι· και το γνωναι οτι εις τα τοιαυτα δει (ευτονως[b]) αναλισκειν.

4. Παρα του τροφεως το μητε Πρασιανος, μητε Βενετιανος, μητε Παλμουλαριος η Σεκουταριος γενεσθαι. και το φερεπονον και ολιγοδεες και αυτουργικον, και το απολυπραγμον, και το δυσπροσδεκτον διαβολης.

5. Παρα Διογνητου το ακενοσπουδον· και το απιστητικον τοις υπο των τερατευομενων και γοητων περι επωδων και περι δαιμονων αποπομπης και των τοιουτων λεγομενοις· και το μη ορτυγοτροφειν, μηδε περι τα τοιαυτα επτοησθαι· και το ανεχεσθαι παρρησιας, και το οικειωθηναι φιλοσοφια· και το ακουσαι, πρωτον μεν Βα-

---

Vulgata. καλοηθες—sed id Catholicum-quod exemplo non prodest. εκηλ· speciale est, ut omnia in hâc serie. [1] εφεκ. quod parum quadrat.—[2] εκτενως sed id neutiquam Stoici.—

[a] Intell. ελαβον. [b] Forsan αφθονως.



ΜΑΡΚΟΥ ΑΝΤΩΝΙΝΟΥ ΑΥΤΟΚΡΑΤΟΡΟΣ

Των εις εαυτον.

ΒΙΒΛΙΟΝ Α.

ΠΑΡΑ[a] *του παππου Ουηρου το* (*εκηλοηθες*)[1] *και αοργητον· Παρα της δοξης και μνημης της περι του γεννησαντος το αιδημον και αρρενικον.*

2. *Παρα της μητρος το θεοσεβες και μεταδοτικον και* (*αφεκτικον*) *ου μονον του κακοποιειν αλλα και του επι εννοιας γενεσθαι τοιαυτης· ετι δε το λιτον κατα την διαιταν, και πορρω της πλουσιακης διαγωγης.*

3. *Παρα του προπαππου το μη εις δημοσιας διατριβας φοιτησαι, και το αγαθοις διδασκαλοις κατ᾽ οικον χρησασθαι· και το γνωναι οτι εις τα τοιαυτα δει* (*ευτονως*[b]) *αναλισκειν.*

4. *Παρα του τροφεως το μητε Πρασιανος, μητε Βενετιανος, μητε Παλμουλαριος η Σεκουταριος γενεσθαι. και το φερεπονον και ολιγοδεες και αυτουργικον, και το απολυπραγμον, και το δυσπροσδεκτον διαβολης.*

5. *Παρα Διογνητου το ακενοσπουδον· και το απιστητικον τοις υπο των τερατευομενων και γοητων περι επωδων και περι δαιμονων αποπομπης και των τοιουτων λεγομενοις· και το μη ορτυγοτροφειν, μηδε περι τα τοιαυτα επτοησθαι· και το ανεχεσθαι παρρησιας, και το οικειωθηναι φιλοσοφια· και το ακουσαι, πρωτον μεν Βα-*

Vulgata. *καλοηθες*—sed id Catholicum-quod exemplo non prodest. *εκηλ·* speciale est, ut omnia in hâc serie. [1] *εφεκ.* quod parum quadrat.—[2] *εκτενως* sed id neutiquam Stoici.—

[a] Intell. *ελαβον.* [b] Forsan *αφθονως.*

κχιον, ειτα Τανδασιδος και Μαρκιανου· και το γραψαι διαλογους εν παιδι· και το σκιμποδος και δορας (επικοιμασθαι,)[1] *και οσα τοιαυτα της Ελληνικης αγωγης εχομενα.*

6. *Παρα Ρουςικου, το λαβειν φαντασιαν του χρηζειν διορθωσεως και θεραπειας του ηθους, και το μη εκτραπηναι εις ζηλον σοφιςικον, μηδε του συγγραφειν περι των θεωρηματων, η προτρεπτικα λογαρια διαλεγεσθαι, η φαντασιοπληκτως τον ασκητικον η τον ενεργητικον ανδρα επιδεικνυςθαι. και το αποςηναι Ρητορικης και Ποιητικης και Ας͵ειολογιας· και το μη εν ςολη κατ' οικον περιπατειν, μηδε τα (ποικιλτα*[2] *υποδειν·) και το τα επιςολια αφελως γραφειν, οιον το υπ' αυτου τουτου απο Σινοεσσης τη μητρι μου γραφεν. και το προς τους χαλεπηναντας και πλημμελησαντας ευανακλητως και ευδιαλλακτως, επειδαν ταχιςα αυτοι επανελθειν εθελησωσι, διακεισθαι· και το ακριβως αναγινωσκειν, και μη αρκεισθαι περινοουντα ολοσχερως, μηδε τοις περιλαλουσι ταχεως συγκατατιθεσθαι· και το εντυχειν τοις Επικτητειοις υπομνημασιν, ων οικοθεν μετεδωκε.*

7. *Παρα Απολλωνιου το ελευθερον και αναμφιβολως ακυβευτον, και (το) προς μηδεν αλλο αποβλεπειν, μηδ' επ' ολιγον, η προς τον λογον. Και το αει ομοιον εν αλγηδοσιν οξειαις, εν αποβολη τεκνου, εν μακραις νοσοις· και το επι παραδειγματος ζωντος ιδειν εναργως οτι δυναται ο αυτος σφοδροτατος ειναι, και (παλιν) ανειμενος. Και το εν ταις εξηγησεσι μη δυσχεραντικον, και το ιδειν ανθρωπον (σοφον ως)*[3] *ελαχιςον των εαυτου καλων ηγουμενον την εμπειριαν και την εντρεχειαν την περι του παραδιδοναι τα θεωρηματα. Και το μαθειν πως δει λαμβανειν τας δοκουσας χαριτας παρα φιλων, (μητε εξηττωμενον δια ταυτα,)*[a] *μητε αναισθητως παραπεμποντα.*

Vulgata. [1] *επιθυμησαι*· hoc a sensu ac stoâ perinde discrepat.—[2] *τοιαυτα ποιειν*—Quasi Rhetoricam cum Poeticâ colere ac pallium gestare ejusdem essent categoriæ—non absonè Figaro—"Le Ballet ne peut etre trop long, pourvu que la morale soit bonne et la metaphysique bien entendue"—*ποικιλτα υποδειν*· nempe ut illud calceamentum, ita spero ista emendatio suppeditat.—[3] *σαφως*· nullo sensu.

[a] Malim *διαλλακτι*.

8. *Παρα Σεξτου το ευμενες, και το παραδειγμα του οικου του πατρονομουμενου, και την εννοιαν του κατα φυσιν ζην, και το σεμνον απλαςως· και το ςοχαςικον των φιλων κηδεμονικως, και το ανεκτικον των ιδιωτων, και των το αθεωρητον οιομενων. Και το προς παντας εναρμοςον, ωςε κολακειας μεν πασης προσηνεςερον ειναι την ομιλιαν αυτου, αιδεσιμωτατον τε*[1] *(αυτον) εκεινοις παρ' αυτον εκεινον τον καιρον ειναι. Και το*[2] *(καταληπτικον καθολου εξεγερτικον) τε και τακτικον των εις βιον αναγκαιων δογματων. Και το (μηδεμιαν)*[3] *εμφασιν ποτε οργης η αλλου τινος παθους παρασχειν. Αλλα αμα μεν απαθεςατον ειναι, αμα δε φιλοςοργοτατον· και το (ευφημον,)*[a] *και τουτο αψοφητι· και το πολυμαθες ανεπιφαντως.*

9. *Παρα Αλεξανδρου του Γραμματικου το ανεπιπληκτον· και το μη ονειδιςικως επιλαμβανεσθαι των βαρβαρον η σολοικον τι η απηχες προενεγκαμενων· αλλ' επιδεξιως αυτο μονον εκεινο ο εδει, ειρησθαι, προφερεσθαι, εν τροπω αποκρισεως, η συνεπιμαρτυρησεως, η συνδιαληψεως περι αυτου του πραγματος, ουχι περι του ρηματος· η δι' ετερας τινος τοιαυτης εμμελους παρυπομνησεως.*

10. *Παρα Φροντωνος το (επιςησαι)*[b] *οια η τυραννικη βασκανια, και ποικιλια και υποκρισις· και οτι ως επιπαν οι καλουμενοι ουτοι παρ' ημιν ευπατριδαι αςοργοτεροι πως εισι.*

11. *Παρα Αλεξανδρου του Πλατωνικου το μη πολλακις μηδε χωρις αναγκης λεγειν προς τινα, η εν επιςολη γραφειν, οτι ασχολος ειμι. μηδε δια τοιουτου τροπου συνεχως παραιτεισθαι τα κατα τας προς τους συμβιουντας σχεσεις καθηκοντα, προβαλλομενον τα περιεςωτα πραγματα.*

12. *Παρα Κατουλου το μη ολιγωρως εχειν φιλου αιτιωμενου τι, καν τυχη αλογως αιτιωμενος, αλλα πειρασθαι και (ακοντα) αποκαθιςαναι επι το συνηθες. Και το περι των διδασκαλων εκθυμως ευφημον, οια τα περι Δομητιου και Αθηνοδοτου απομνημονευομενα· και το περι τα τεκνα αληθινως αγαπητικον.*

Vulgata. [1] *αυτοις.*—[2] *καταληπτικως και οδω εξευρετικον τε;* totum male—inventio moralia non attinct.—[3] *μηδε εμφ.*

[a] Malim *ευσχημον.* [b] *επιςησαι·* intellige *νουν*; animadvertere.

13. *Παρα τον αδελφον μου Σεουηρον το φιλοικειον και φιλαληθες και φιλοδικαιον, και το δι᾽ αυτον γνωναι Θρασεαν, Ἑλβιδιον, Κατωνα, Διωνα, Βρουτον, και φαντασιαν λαβειν πολιτειας, ισονομον κατ᾽ (ισοτελειοιητα)[1] και ισηγοριαν διοικουμενης, και βασιλειας τιμωσης παντων μαλιϛα την ελευθεριαν των αρχομενων. Και ετι παρ᾽ αυτου, το (αφελες)[2] και ομοτονον εν τη τιμη της φιλοσοφιας, και το ευποιητικον και (ευμεταδοτικον ανεκτενως),[3] και το ευελπι. Και το πιϛευτικον περι του υπο των φιλων·φιλεισθαι· και το ανεπικρυπτον προς τους καταγνωσεως ὑπ᾽ αυτου τυγχανοντας, και το μη δεισθαι ϛοχασμου τους φιλους αυτου περι του τι θελει, η ου θελει, αλλα δηλον ειναι.*

Παρα Κλ. Μαξιμου το κρατειν εαυτου, και κατα μηδεν περιφορον ειναι· και το ευθυμον εν τε ταις αλλαις περιϛασεσι, και εν ταις νοσοις. Και το ευκρατον του ηθους, και μειλιχιον και γεραρον, και ου σχετλιως κατεργαϛικον των προκειμενων. και το παντας αυτω πιϛευειν, περι ων λεγοι οτι ουτως φρονει· και περι ων πραττοι οτι ουκ (εικαιως)[4] πραττει. Και το αθαυμαϛον και ανεκπληκτον, και μηδαμου επειγομενον η οκνουν η αμηχανουν η κατηφες η προσσεσηρος, η παλιν θυμουμενον η υφορωμενον· και το ευεργετικον και το συγγνωμονικον και το αψευδες, και το αδιαϛροφου μαλλον η διορθουμενου φαντασιαν παρεχειν. Και οτι ουτε ωηθη αν ποτε τις υφορασθαι ὑπ᾽ αυτου, ουτε (αυτος μη) υπεμεινεν αν κρειττονα (ἁυτου αλλον)[5] υπολαβειν· και το ευχαριεντιζεσθαι.

Παρα του πατρος το ἡμερον και μενετικον ασαλευτως επι των εξητασμενως κριθεντων· και το ακενοδοξον περι τας δοκουσας τιμας, και το φιλοπονον και ενδελεχες. Και το ακουϛικον των εχοντων τι κοινωφελες εισφερειν· και το απαρατρεπτως εις το (δοκουν)[6] κατ᾽ αξιαν απονεμετικον ἑκαϛω· και το εμπειρον που μεν χρεια εντασεως που δε ανεσεως. Και το παυσαι τα περι τους ερωτας μειρακιων· και ἡ κοινονοημοσυνη· και το εφεισθαι τοις φιλοις μητε συνδειπνειν αυτω παντως, μητε συναποδημειν επαναγκες·

Vulgat. [1] *ισοτητα.*—[2] *αμελες.*—[3] *ευμεταδοτον εκτενως*—falsum utrumque—*ευμετ.* contra sentum *εκτενως* contra *ϛοαν.*—[4] *ου κακως.*—[5] *αυτου ἁυτον*—absurdè.—[6] Dura hæc et contorta. *το δοκουν* additum temperat ac explicat.

αει δε ὁμοιον αυτον καταλαμβανεσθαι ὑπο των δια χρειας τινας απολειφθεντων· και το ζητητικον ακριβως εν τοις συμβουλιοις, και επιμονον, (ἱν᾽ αν αλλος τις)[1] προαπεϛη της ερευνης αρκεσθεις ταις προχειροις φαντασιαις. Και το διατηρητικον των φιλων, και μηδαμου ἁψικορον, μηδε επιμανες. Και το αυταρκες εν παντι, και το φαιδρον, και το πορρωθεν προνοητικον, και των ελαχιϛων προδιοικητικον ατραγωδως. Και το τας επιβοησεις και πασαν κολακειαν επ᾽ αυτου ϛαληναι. Και το φυλακτικον αει των αναγκαιων τη αρχη, και ταμιευτικον της χορηγιας, και ὑπομενετικον της επι των τοιουτων (ευτελειων)[2] καταιτιασεως· και το μητε περι τους Θεους δεισιδαιμον, μητε περι ανθρωπους δημοκοπικον, η αρεσκευτικον, η οχλοχαρες, αλλα νηφον εν πασι και βεβαιον, και μηδαμου απειροκαλον μηδε καινοτομον. Και το τοις εις ευμαρειαν βιου φερουσι τι, ὡν ἡ Τυχη παρειχε δαψιλειαν, χρηϛικον ατυφως ἁμα και απροφασιϛως, ὡϛε παροντων μεν ανεπιτηδευτως ἁπτεσθαι, αποντων δε μη δεισθαι. Και το (μηποτε) αν τινα ειπειν μητε οτι σοφιϛης, μητε οτι (οικοτριβης εν ουερνακλοις)[3] μητε οτι σχολαϛικος· αλλ᾽ οτι ανηρ πεπειρος, τελειος, ακολακευτος, προεϛαναι δυναμενος και (εαυτου)[4] και των αλλων. Προς τουτοις δε το τιμητικον των αληθως φιλοσοφουντων, τοις δ᾽ αλλοις ουκ εξονειδιϛικον· ετι δε το ευομιλον και ευχαρι ου κατακορως· και το του ιδιου σωματος επιμελητικον εμμετρως, ουτε ὡς αν τις φιλοζωος, ουτε προς καλλωπισμον, ουτε μην ολιγωρως· αλλ᾽ ωϛε δια την ιδιαν προσοχην, εις ολιγιϛα ιατρικης χρηζειν, η φαρμακων και επιθηματων. (Εν τοις)[5] μαλιϛα δε το παραχωρητικον αβασκανως τοις δυναμιν τινα κεκτημενοις· οιον την φραϛικην, η την των εξ ἱϛοριας νομων, η εθων, η αλλων τινων πραγματων· και (το) συσπουδαϛικον αυτοις, ἱνα ἑκαϛοι κατα τα ιδια προτερηματα ευδοκιμωσι. Παντα δε κατα τα πατρια πρασσων, ουδ᾽ αυτο τουτο επιτηδευων φαινεσθαι, το τα πατρια φυλασσειν· ετι δε το μη ευμετακινητον και ριπταϛικον, αλλα και τοποις και πραγμασι τοις αυτοις ενδιατριπτικον. Και το

Vulgat. [1] αλλ᾽ ου το προαπεϛη—locus vexatissimus; ut supra, plana ac profluentia omnia.—[2] τονων.—[3] οικογενης ουερνακλος—Quasi id imperatori pro laude esset.—[4] των ἑ. και αλλων.—[5] επιθηματων εκτος.

μετα τους παροξυσμους της κεφαλαλγιας νεαρον ευθυς και ακμαιον προς τα συνηθη εργα. Και το μη ειναι αυτω πολλα τα απορρητα, αλλα (ευλογιςα)[1] *και σπανιωτατα, και ταυτα υπερ των κοινων μονον. Και το εμφρον και μεμετρημενον εν τε θεωριων επιτελεσει, και εργων κατασκευαις και διανομαις, και τοις τοιουτοις (φιλανθρωπικοις, ως)*[2] *προς αυτο (δη) το δεον πραχθηναι δεδορκοτος, ου προς την επι τοις πραχθεισιν ευδοξιαν. Ουκ αωρι λουςης. ουχι φιλοικοδομος· ου περι τας εδωδας επινοητης, ου περι εσθητων ὑφας και χροας, ου περι σωματων ὡρας. Ἡ απο Λωριου ςολη, αναγουσα απο της κατω επαυλεως, και των εν Λανουβιω τα πολλα. Τω τελωνη εν Τουσκλοις παραιτουμενω ὡς εχρησατο, και πας ὁ τοιουτος τροπος. ουδεν απηνες, ουδε μην αδυσωπητον, ουδε λαβρον, ουδ' ὡς αν τινα ειπειν ποτε, ἑως ἱδρωτος. αλλα παντα διειλημμενα (ὡς επιςολης λελογισθαι) αταραχως, τεταγμενως, ερρωμενως, συμφωνως εαυτοις. Εφαρμοσειε δ' αν αυτω το περι του Σωκρατους μνημονευομενον, ὁτι και απεχεσθαι και απολαυειν εδυνατο τουτων, ὡν (οι) πολλοι προς τε τας αποχας ασθενως, και προς τας επιλαυσεις ενδοτικως εχουσι. Το δε ισχυειν και επικαρτερειν και εννηφειν ἑκατερω, ανδρος εςιν αρτιον και αηττητον ψυχην εχοντος, ὁιον εν τη νοσω τη Μαξιμου.*

Παρα των θεων, το αγαθους παππους, αγαθους γονεας, αγαθην αδελφην, αγαθους διδασκαλους, αγαθους οικειους, συγγενεις, φιλους, υχεδον απαντα σχειν. Και οτι περι ουδενα αυτων προεπεσον πλημμελησαι τι, καιτοι διαθεσιν εχων τοιαυτην, αφ' ἡς, ει ετυχε, κἀν επραξα τι τοιουτο. Των Θεων δε ευποιια, το μηδεμιαν πραγματων συνδρομην γενεσθαι, ητις εμελλε με ελεγξειν. Και το μη πλεον επιτραφηναι παρα τη παλλακη του παππου· και το την ὡραν διασωσαι, και το μη προ ὡρας ανδρωθηναι, αλλ' ετι και επιλαβειν του χρονου. Το αρχοντι και πατρι υποταχθηναι, ος εμελλεν παντα τον τυφον αφαιρησειν μου, και εις εννοιαν αξειν, οτι δυνατον εςιν εν αυλη βιουντα, μητε δορυφορησεων χρηζειν, μητε εσθητων σημειωδων,

---

Vulgat. [1] *ολιγιςα* quod otiosum—idem enim signif. *σπανιωτατα*.—[2] *ανθρωποις, προς αυτο δε.* Corrupte confusè præposterè.—[3] *λελογιςθαι ὡς επι σχολης.*

μητε λαμπαδων και ανδριαντων (και ορχηςικων)[1] και του ομοιου κομπου, αλλ᾽ εξεςιν εγγυτατω ιδιωτου συςελλειν ἑαυτον, και μη δια τοῦτο ταπεινοτερον η ραθυμοτερον εχειν προς τα ὑπερ τῶν κοινῶν ἡγεμονικως πραχθῆναι δεοντα. Το αδελφοῦ τοιουτον τυχεῖν, δυναμενον μεν δια ηθους επεγεῖραι με προς επιμελειαν εμαυτοῦ, αμα δε και τιμη και ςοργῆ ευφραινοντος με. Το παιδια μοι αφυῆ μη γενεσθαι, μηδε κατα το σωματιον διαςροφα. Το μη επι πλεον με προκοψαι εν ρητορικῆ και ποιητικῆ και (τοιυτοῖς)[2] αλλοις επιτηδευμασι, εν ὁις ισως αν κατεσχεθην, ει ᾔσθομην εμαυτον ευοδως προϊοντα. Το φθασαι τους τροφεας εν αξιωματι καταςῆσαι, οὑ δη εδοκουν μοι επιθυμεῖν, και μη αναβαλεσθαι ελπιδι, τοῦ με, επει νεοι ετι ησαν, ὑςερον αυτο πραξειν. Το γνῶναι Απολλωνιον, Ρουςικον, Μαξιμον. Το φαντασθῆναι περι τοῦ κατα φυσιν βιου εναργῶς και πολλακις, οἷος τις εςι. Ὡςε ὁσον επι τοῖς θεοῖς, και ταῖς εκεῖθεν (διαθεσεσι)[3] και συλληψεσι, και επιπνοιαις,[4] μηδεν κωλυειν (ἡ δη)[5] κατα φυσιν ζῆν με, η απολειπεσθαι ετι τουτου παρα την εμην αιτιαν, και παρα το μη διατηρεῖν τας εκ τῶν θεῶν ὑπομνησεις, και μονον ουχι διδασκαλιας. Το αντισχεῖν μοι το σῶμα επι τοσουτον εν τοιουτῳ βιῳ. Το μητε Βενεδικτης ἁψασθαι, μητε Θεοδοτου· αλλα και ὑςερον εν ερωτικοῖς παθεσι γενομενον ὑγιᾶναι. Το χαλεπηναντα πολλακις Ρουςικῳ, μηδεν πλεον πραξαι, εφ᾽ ᾧ αν μετεγνων. Το μελλουσαν νεαν τελευτᾶν την τεκοῦσαν, ὁμως οικῆσαι μετ᾽ εμοῦ τα τελευταῖα ετη. Το ὁσακις εβουληθην επικουρῆσαι τινι πενομενῳ, η εις αλλο τι χρηζοντι, μηδεποτε ακοῦσαι με οτι ουκ εςι μοι χρηματα ὁθεν γενηται· και το αυτῷ εμοι χρειαν ὁμοιαν, ὡς παρ᾽ ἑτερου μεταλαβεῖν, μη συμπεσεῖν. Το την γυναῖκα τοιαυτην ειναι, ὁυτωσι μεν πειθηνιον, οὑτω δε φιλοςοργον, οὑτω δε αφελῆ. Το επιτηδειων τροφεων εις τα παιδια ευπορῆσαι. Το δι᾽ ονειρατων βοηθηματα δοθῆναι, αλλα τε, και ὡς μη πτυειν αἱμα, και μη ιλιγγιᾶν· και (το του)[6] εν Καϊητη "ωσπερ χρηση." Ὁπως τε επεθυμησα φιλοσοφιας, μη εμπεσεῖν εις

Vulgata. [1] τοιωνδε τινων.—[2] τοις.—[3] διαδοσεσι.—[4] επινοιαις.—[5] ηδη.—[6] τουτου vexatissima phrasis—sed lucida fit per το του εν Κι, i. e. dictum viri Caietensis, qui de re cujus quæstio erat, bona an mala, pronuntiavit scitè ὡ χ. prout utaris.

τινα σοφιςην, μηδε (αποκαθιζων εθισαι)[1] επι τους συγγραφεῖς, η συλλογισμους αναλυειν η περι τα μετεωρολογικα καταγινεσθαι. Παντα γαρ ταῦτα θεῶν βοηθῶν και τυχης δεῖται. Τα εν Κουαδοις προς τῳ Γρανουᾳ. α

ΒΙΒΛΙΟΝ Β.

1. *Εωθεν προλεγειν εαυτῳ, Συντευξομαι περιεργῳ, αχαριςῳ, ὑβριςῇ δολερῷ, βασκανῳ, ακοινωνητῳ. Παντα ταῦτα συμβεβηκεν εκεινοις παρα την αγνοιαν των αγαθῶν και κακῶν. Εγω δε τεθεωρηκως την φυσιν του αγαθοῦ, οτι καλον, και τοῦ κακοῦ, οτι αισχρον, και την αυτοῦ τοῦ ἁμαρτανοντος φυσιν, οτι μοι συγγενης· ουχι αἱματος η σπερματος τοῦ αυτοῦ, αλλα νοῦ, και θειας απομοιρας μετοχος· ουτε βλαβῆναι ὑπο τινος αυτῶν δυναμαι· αισχρῷ γαρ με ουδεις περιβαλλει· ουτε οργιζεσθαι τῷ συγγενεῖ (διανοουμαι)[2] ουτε απεχθεσθαι (αυτον). Γεγοναμεν γαρ προς συνεργιαν, ὡς ποδες, ὡς χεῖρες, ὡς βλεφαρα, ὡς οἱ ςοῖχοι των ανω και τῶν κατω οδοντων. Το ουν αντιπρασσειν αλληλοις παρα φυσιν. Αντιπρακτικον δε, το αγανακτεῖν και αποςρεφεσθαι.*

2. *Ο, τι ποτε τοῦτο ειμι, σαρκια εςι, και πνευματιον, και το ἡγεμονικον. Αφες τα βιβλια, μηκετι σπῶ. Ου (δεδεσαι),[3] αλλ' ὡς ηδη αποθνησκων, τῶν μεν σαρκιων καταφρονησον· λυθρος, και οςαρια, και κροκυφαντος, εκ νευρων, φλεβιων, αρτηριῶν πλεγματιον. Θεασαι δε και το πνεῦμα ὁποῖον τι εςιν· ανεμος· ουδε αει το αυτο, αλλα πασης ωρας εξεμουμενον, και παλιν ῥοφουμενον. Τριτον ουν εςι το ἡγεμονικον. Ωδε απονοηθητι. Γερων εἶ· μηκετι τοῦτο εασῃς δουλεῦσαι· μηκετι καθ' ὁρμην ακοινωνητον νευροσπαςηθῆναι· μηκετι το ειμαρμενον, η παρον δυσχερᾶναι, η μελλον υποδυεσθαι.*

Vulgata. [1] *αποκαθισαι.*—[2] *δυναμαι·* sed *το διαν—τῳ δυν.* Opponitur *διανοουμαι* = propensus sum, ut sæpe.—[3] *δεδοται.*

3. *Τα των θεῶν προνοιας μεςα.*[a] *Τα της τυχης ουκ ανευ φυσεως η συγκλωσεως, και επιπλοκῆς των προνοια διοικουμενων. Παντα εκεῖθεν ῥεῖ. Προσεςι δε το αναγκαῖον, και το τῳ ολῳ κοσμῳ συμφερον, οὗ μερος εἶ. Παντι δε φυσεως μερει αγαθον ο φερει ἡ τοῦ ολου φυσις, και ο εκεινης εςι σωςικον. Σωζουσι δε κοσμον ωσπερ αἱ τῶν ςοιχειων, ουτω και αἱ τῶν συγκριματων μεταβολαι. Ταῦτα σοι αρκειτω, αει δογματα εςω. Την δε τῶν βιβλιων διψαν ῥιψον, ινα μη γογγυζων αποθανῃς, αλλα ιλεως, αληθῶς, και απο καρδιας ευχαριςος τοῖς θεοῖς.*

4. *Μεμνησο εκ ποσου ταῦτα αναβαλῃ, και ὁποσακις προθεσμιας λαβων παρα τῶν θεῶν, ου χρᾷ αυταῖς· δεῖ δε ηδη ποτε αισθεσθαι, τινος κοσμου μερος εἶ, και τινος διοικοῦντος τον κοσμον απορροια ὑπεςης· και ὁτι ὁρος εςι σοι περιγεγραμμενος του χρονου· ᾧ εαν μη εις το* [b](*ὑπαιθριασαι*)[1] *χρησῃ, οιχησεται, και οιχησῃ, και αυθις ουχ ἡξεται.*

5. *Πασης ωρας φροντιζε, ςιβαρῶς, ὡς Ρωμαῖος και αρρην, το εν χερσι μετα της ακριβοῦς και απλαςου σεμνοτητος, και φιλοςοργιας, και ελευθεριας, και δικαιοτητος πρασσειν, και σχολην σαυτῷ απο πασῶν τῶν αλλων φαντασιῶν πορiζειν.Ποριεῖς δε, αν ὡς εσχατην του βιου, ἑκαςην πρᾶξιν ενεργῇς, απηλλαγμενην πασης εικαιοτητος, και εμπαθοῦς αποςροφῆς απο του αἱροῦντος λογου, και ὑποκρισεως, και φιλαυτιας, και δυσαρεςησεως προς τα συμμεμοιραμενα. Ορᾷς πῶς ολιγα εςιν, ὧν κρατησας τις, δυναται ευρουν, και θεουδῆ βιῶσαι βιον· και γαρ οἱ θεοι πλεον ουδεν απαιτησουσι παρα τοῦ ταῦτα φυλασσοντος.*

6. (*Υβριζη; υβριζη σεαυτην*)[2] *ὦ ψυχη·* (*τι δ' ου*) *τιμῆσαι σεαυτην; ουκετι καιρον ἑξεις.* (*Ρει*)[3] *γαρ ὁ βιος ἑκαςω. Ουτος δε σοι σχεδον διηνυςαι, μη αιδουμενῃ σεαυτην, αλλ' εν ταις αλλων ψυχαῖς τιθεμενῃ την σην ευμοιριαν.*

Vulgata. [1] *απαιθ.*—[2] *υβριζε αυτην· του δε τιμησαι σεαυτην.*—[3] *ευ.*

[a] Malim *αιρετα = αςμεςα.* [b] Forsan *αποθηριωσαι σε.*

7. Περισπᾷ τι σε τα εξωθεν εμπιπτοντα (; Ναι).[1] Σχολην παρεχε σεαυτω τω προσμανθανειν αγαθον τι, και παῦσαι ῥεμβομενος· ηδη δε και την ἑτεραν περιφοραν φυλακτεον. Ληρουσι γαρ και δια πραξεων, ὁι (απειρηκοτες)[2] τῳ βιῳ, και μη εχοντες σκοπον, εφ᾽ ον πασαν ὁρμην και καθαπαξ φαντασιαν απευθυνοῦσιν.

8. Παρα μεν το μη εφιςανειν τι εν τῇ αλλου ψυχῇ γιγνεται, ου ῥαδιως τις ωφθη κακοδαιμονῶν· τους δε τοῖς της ιδιας ψυχῆς κινημασι μη παρακολουθοῦντας, αναγκη κακοδαιμονεῖν.

9. Τουτων αει δεῖ μεμνῆσθαι. Τις ἡ τῶν ολων φυσις, και τις ἡ εμη, και πῶς αυτη προς εκεινην εχουσα, και ὁποῖον τι μερος, ὁποιου του ὁλου ουσα. Και ὁτι ουδεις ὁ κωλυων τα ακολουθα τῇ φυσέι, ἧς μερος ει, πρασσειν τε αει και λεγειν.

10. Φιλοσοφως ὁ Θεοφραςος εν τῇ συγκρισει τῶν ἁμαρτηματων, ὡς αν τις κοινοτερον τα τοιαῦτα συγκρινειε, φησι. Βαρυτερα ειναι τα κατ᾽ επιθυμιαν πλημμελουμενα τῶν κατα θυμον. ῾Ο γαρ θυμουμενος μετα τινος λυπης και λεληθυιας συςολῆς φαινεται τον λογον αποςρεφομενος· ὁ δε κατ᾽ επιθυμιαν ἁμαρτανων, ὑφ᾽ ἡδονης ἡττωμενος ακολαςοτερος πως φαινεται, και θηλυτερος εν ταις ἁμαρτιαις. Ορθῶς ουν και φιλοσοφιας αξιως εφη, μειζονος εχεσθαι το μεθ᾽ ἡδονῆς ἁμαρτανομενον, ηπερ το μετα λυπης. Ολως (δη) ὁ μεν προηδικημενῳ μᾶλλον εοικε, και δια λυπην ηναγκασμενῳ θυμωθῆναι. ῾Ο δε, ἀυτοθεν προς το αδικεῖν ὡρμηται, φερομενος επι το πραξαι[a] τινα κατ᾽ επιθυμιαν.

11. Ὡς ηδη (θανατου καλουντος)[3] εξιεναι του βιου, ὀντως ἑκαςα ποιεῖν και διανοεῖσθαι. Το δε εξ ανθρωπων απελθεῖν, ει μεν Θεοι εισιν, ουδεν δεινον. Κακῷ γαρ σε ουκ αν περιβαλοιεν. Ει δε ητε ουκ εισιν, η ου μελει αυτοῖς των ανθρωτειων· τι μοι ζῆν εν κοσμῳ κενῷ θεῶν, η προνοιας κενῷ; αλλα και εισι, και μελει αυτοῖς τῶν ανθρωπειων· και τοῖς μεν κατ᾽ αληθειαν κακοῖς, ινα μη περιπιπτῃ ὁ

Vulgata. [1] και.—[2] κεκμηκοτες.—[3] δυνατου οντος· sed ea mera possibilitas imbecilla ac nemini curæ est. Sensus postulat mortem instantem, clamantem.

[a] Malim σπαραξαι· ut in Platone ac Dem.

ανθρωπος, επ' αυτῳ το πᾶν εθεντο. Τῶν δε λοιπῶν ει τι κακον ην, και τοῦτο αν προιδοντο. Ινα (επι παντι ῇ)[1] το μη περιπιπτειν αυτῳ. Ο δε χειρω μη ποιεῖ ανθρωπον, πῶς αν τοῦτο βιον ανθρωπου χειρω ποιησειεν. Ουτε (δη) κατ' αγνοιαν, ουτε ειδυιᾶ μεν, μη δυναμενη δε προφυλαξασθαι, η διορθωσασθαι ταῦτα, ἡ τῶν ολων φυσις παρεῖδεν αν· ουτ' αν τηλικοῦτον ἡμαρτεν ητοι παρ' αδυναμιαν, η παρ' ατεχνιαν, ινα τα αγαθα και τα κακα επισης τοῖς τε αγαθοῖς ανθρωποις και τοῖς κακοῖς πεφυρμενως συμβαινῃ. Θανατος δε γε και ζωη, δοξα και αδοξια, πονος και ἡδονη, πλοῦτος και πενια, παντα ταῦτα επισης συμβαινει ανθρωπων τοῖς τε αγαθοις και τοις κακοις, ουτε καλα οντα, ουτε αισχρα· ουτ αρ' αγαθα, ουτε κακα εςι.

12. Πῶς παντα ταχεως εναφανιζεται, τῳ μεν κοσμῳ αυτα τα σωματα· τῳ δε αιῶνι αἱ μνῆμαι αυτῶν. Οἷα εςι τα αισθητα παντα, και μαλιςα τα ἡδονῇ δελεαζοντα, η πονῳ φοβοῦντα, η τυφῳ διαβεβοημενα. Πῶς ευτελῆ και [2](εκ)φθαρτα, καί νεκρα.

13. Νοερας δυναμεως, εφιςαναι τι εισιν οὗτοι ὧν αἱ ἱπολη ψεις και αἱ φωναι, την ευδοξιαν (διδουσι). Τι εςι το αποθανεῖν, και οτι εαν τις αυτο μονον ειδῇ, και τῳ μερισμῷ της εννοιας διαλυσῃ τα εμφανταζομενα αυτω, ουκετι αλλο τι ὑποληψεται αυτο ειναι η φυσέως εργον. Φυσεως δε εργον ειτις φοβεῖται, παιδιον εςι. Τοῦτο μεν τοι ου μονον φυσεως εργον εςιν, αλλα και συμφερον αυτῇ. Πῶς ἁπτεται θεοῦ ανθρωπος, και κατα τι αυτοῦ μερος, και (πως εχῃ οταν διαχεηται, ταυτα του ανθρωπου παρα το νοερον).[3]

14. Ουδεν αθλιωτερον τοῦ παντα κυκλῳ εκπεριερχομενου, και τα νερθεν γῆς, φησιν, ερευνῶντος, και τα εν ταις ψυχαῖς τῶν πλησιον δια τεκμαρσεως ζητοῦντος, μη αισθομενου δε οτι αρκεῖ προς μονῳ τῳ ενδον ἑαυτοῦ δαιμονι ειναι, και τοῦτον γνησιως θεραπευειν. Θεραπεια δε αυτοῦ καθαρον παθους διατηρεῖν, και εικαιοτητος, και δυσαρεςησεως της προς τα εκ θεῶν και ανθρωπων γινομενα. Τα μεν γαρ εκ θεῶν αιδεσιμα δι αρετην· τα δε

Vulgata. [1] επη παντι.—[2] ευφ.—[3] το του ανθρ. τουτο μοριον, miserabile quantum in hoc laboraverunt critici. Emendatio (quæ supra) explicat sententiam.

εξ ανθρωπων φιλα δια συγγενειαν. Εςι δε οτε και τροπον τινα ελεεινα, δι᾽ αγνοιαν αγαθῶν και κακῶν. Ουκ ελαττων ἡ πηρωσις ἁυτη της ςερὶσκουσης του διακρινειν τα λἐυκα και μελαινα.

15. *Κἀν τρισχιλια ετη βιωσεσθαι μελλῃς, και τοσαυτακις μυρια, ομως μεμνησο, οτι ουδεις αλλον αποβαλλει βιον, η τοῦτον ον ζῃ· ουδε αλλον ζῇ, η ον αποβαλλει. Εις ταυτο ουν καθιςαται το μηκιςον τω βραχυτατῳ. Το γαρ παρον πασιν ισον, ει και το απολλυμενον ουκ ισον, και το αποβαλλομενον ουτῳ ακαριαῖον αναφαινεται. Ουτε γαρ το παρῳχηκος, ουτε το μελλον αποβαλλοι αν τὶς. Ο γαρ ουκ εχει, πῶς αν τις τουτο αυτοῦ αφελοιτο; τοῦτων ουν τῶν δυο δεῖ μεμνῆσθαι· ἑνος μεν, οτι παντα εξ αἴδιου ὁμοειδῆ, και ανακυκλουμενα, και ουδεν διαφερει, ποτερον εν ἑκατον ετεσιν, η εν διακοσιοις, η εν τῳ απειρῳ χρονῳ τα αυτα τις οψεται. Ἑτερον δε, οτι και ὁ πολυχρονιωτατος, και ὁ ταχὶςα τεθνηξομενος, το ισον αποβαλλει. Το γαρ παρον εςι μονον ὁν ςερισκεσθαι μελλει, ὁπερ (δη)[1] εχει, και τοῦτο μονον. Και ο μη εχει τις, ουκ αποβαλλει.*

16. *Οτι (πανθ) ὑποληψις. Δῆλα μεν γαρ τα προς τον κυνικον Μονιμον λεγομενα· δῆλον δε και το χρησιμον τοῦ λεγομενου. Εαν τις αυτοῦ το (αννσιμον)[2] μεχρι τοῦ αληθοῦς δεχηται.*

17. *Υβριζει ἑαυτην ἡ του ανθροπου ψυχη· μαλιςα μεν, οταν αποςημα, και οἷον φῦμα κοσμου, οσον εφ᾽ ἑαυτω, γενηται. Το γαρ δυσχεραινειν τινι των γενομενων αποςασις εςι της φυσεως, ἧς εν (εμμελεια)[3] ἑκαςον τῶν λοιπῶν φυσεις περιεχονται· επειτα δε, ὁταν ανθρωπον τινα αποςραφῇ, η και εναντια φερηται, ὡς βλαψουσα, οἷαι εισι αἱ των οργιζομενων. Τριτον, ὑβριζει ἑαυτην, οταν ἡσσαται ἡδονῆς, η πονου. Τεταρτον, οταν ὑποκρινηται, και επίπλαςως, και αναληθως τι ποιῇ, η λεγῃ. Πεμπτον, οταν πρᾶξιν τινα ἑαυτῆς και ὁρμην, επ᾽ ουδενα σκοπον αφιῃ, αλλα εικῇ και απαρακολουθητως ὁτιοῦν ενεργῇ· δεον και τα μικροτατα, κατα την επι το τελος αναφοραν γινεθαι. Τελος δε λογι-*

Vulgata. [1] *γε*—Hæc sectio præstat eam fisci exactionem, odiosam multis, otiosam mihi, anglicè life-income-tax.— [2] *νοςιμον.*—[3] *μερει·* sed *εμμελεια* = concentus; Pythagorea ac Platonica Spherarum Harmonia.

κῶν ζωων το επεσθαι τω της πολεως και πολιτειας της πρεσβυτατης λογῳ και θεσμῷ.

18. *Τοῦ ανθρωπινου βιου ὁ μεν χρονος ςιγμη· ἡ δε ουσια, ῥεουσα· ἡ δε αιθησις, αμυδρα· ἡ δε ολου του σωματος συγκρισις (εκσηπτος·)*[1] *ἡ δε (τυχη), ῥομβος· ἡ δε (ψυχη),*[2] *δυστεκμαρτον· ἡ δε φημη, ακριτον· συνελοντι δε ειπεῖν, παντα τα μεν του σωματος, ποταμος· τα δε της ψυχῆς, ονειρος και τυφος. Ὁ δε βιος, πολεμος, και ξενου επιδημια· ἡ ὑςεροφημια δε, ληθη. Τι ουν το παραπεμψαι δυναμενον; ἓν και μονον φιλοσοφια· τοῦτο δε εν τῳ τηρεῖν τον ενδον δαιμονα (ανυβριςικον),*[3] *και ασινῆ, ἡδονῶν και πονων κρειττονα, μηδεν εικῆ ποιοῦντα, μηδε (δη) διεψευσμενως και μεθ' ὑποκρισεως· ανενδεῆ του αλλον ποιῆσαι τι, η μη ποιῆσαι. Ετι δη τα συμβαινοντα και απονεμομενα δεχομενον, ὡς εκεῖθεν ποθεν ερχομενα, ὁθεν αυτος ηλθεν. Επι πᾶσι δε τον θανατον ἱλεῳ τῇ γνωμῃ περιμενοντα, ὡς ουδεν αλλο η λυσιν των ςοιχειων, εξ ὧν εκαςον ζωον συγκρινεται. Ει δε αυτοῖς τοῖς ςοιχειοις μηδεν δεινον εν τῳ εκαςον διηνεκῶς εις ετερον μεταβαλλειν, δια τι ὑπιδηται τις την παντων μεταβολην και διαλυσιν; κατα φυσιν γαρ. Ουδεν δε κακον κατα φυσιν. Τα εν Καρνουντῳ.*

ΒΙΒΛΙΟΝ Γ.

1. *Ουχι τοῦτο μονον δεῖ λογιζεσθαι, οτι καθ' ἑκαςην ημεραν απαναλισκεται ὁ βιος, και μερος ελαττον αυτοῦ καταλειπεται. Αλλα κακεῖνο λογιςεον, οτι ει επι πλεον βιωη τις, εκεινο γε αδηλον, ει εξαρκεσει ὁμοια αυθις ἡ διανοια, προς την συνεσιν τῶν πραγματων, και της θεωριας της συντεινουσης εις την εμπειριαν των τε θειων και τῶν ανθρωπειων. Εαν γαρ παραληρεῖν αρξηται, το μεν διαπνεῖσθαι, και τρεφεσθαι, και φανταζεσθαι, και ὁρμᾶν, και ὁσα αλλα τοιαῦτα, ουκ ενδεησει. Το δε ἑαυτω χρῆσθαι, και τους του καθηκοντος αριθμους ακριβοῦν, και τα προ-*

Vulgata. [1] *ενσ.*—[2] *τ'* et *ψ* · transponuntur. —[3] *ανυβριςον.*

φαινομενα διαρθρουν, και περι αυτου του ει ηδη εξακτεον αυτον εφιςανειν, και οσα τοιαυτα λογισμου συγγεγυμνασμενου πανυ χρηζει, προαποσβεννυται. Χρη ουν επειγεσθαι, ου μονον (του)[1] εγγυτερω του θανατον εκαςοτε γινεσθαι, αλλα και δια το την[a] εννοησιν των πραγματων και την παρακολουθησιν προαποληγειν.

2. Χρη (κατα τα τελευταια)[2] παραφυλασσειν, οτι και τα (απογινομενα)[3] τοις φυσει (συγγινομενοις)[4] εχει τι ευχαρι και επαγωγον. Οιον, αρτον οπτωμενον παραρηγνυται τινα μερη. Και ταυτα ουν τα (διασχιςα)[5] ουτως και τροπον τινα παρα το επαγγελμα της αρτοποιιας (ανεχοντα)[6] επιπρεπει πως και προθυμιαν προς την τροφην ιδιως ανακινει. Παλιν (τοι) τα συκα, οποτε ωραιοτατα εςι, κεχηνεν. Και εν ταις δρυπετεσιν ελαιαις, αυτο το εγγυς τη σηψει ιδιον τι καλλος τω καρπω προστιθησιν. Οἱ ςαχυες δε κατω νευοντες, και το του λεοντος επισκυνιον, και ὁ των συων εκ του ςοματος ρεων αφρος, και πολλα ἑτερα, κατ' ιδιαν ει τις σκοποιη, πορρω οντα του ευειδους, ομως δια το τοις φυσει γινομενοις επακολουθειν, συνεπικοσμει, και ψυχαγωγει. Ὡςε ει τις εχοι παθος και εννοιαν βαθυτεραν προς τα εν τω ολω γινομενα, σχεδον ουδεν ουχι δοξει αυτω και των κατ' επακολουθησιν συμβαινοντων ἡδεως πως (ες ιδια διανιςασθαι).[7] Ουτος δε και θηριων τ' αληθη χασματα, ουκ ἡττον ἡδεως οψεται η οσα γραφεις και πλαςαι μιμουμενοι δεικνυουσιν. Και γραος και γεροντος (απακμην)[8] τινα και (οπωραν),[9] και το εν παισιν επαφροδιτον τοις (ωσαυτως)[10] σωφροσιν οφθαλμοις ὁραν δυνησεται. Και πολλα τοιαυτα ου παντι πιθανα, μονω δε τω προς την φυσιν, και τα ταυτης εργα γνησιως ωκειωμενω, προσπεσειται.

3. Ιπποκρατης πολλας νοσους ιασαμενος, νοσησας απεθανεν. Οι Χαλδαιοι πολλων Θανατους προηγορευσαν, ειτα και αυτους το πεπρωμενον κατελαβεν. Αλεξανδρος, και Πομπηιος, και Γαιος Καισαρ, ολας πολεις αρδην τοσαυτακις ανελοντες, και εν παραταξει πολλας μυριαδας ιππεων

Vulgata. [1] τω.—[2] και τα τοιαυτα.—[3] επιγ.—[4] γινομενοις.—[5] διεχοντα.—[6] ελοντα.—[7] διασυν. Hæc, ut hactenus, anilia; ut supra, Philosophiæ propria, utpote mortis metum redarguentia.—[8] ακμην.—[9] ωραν.—[10] εαυτον.

[a] Malim διανοουντα.

και πεζων κατακοψαντες, και αυτοι ποτε εξηλθον του βιον. Ηρακλειτος, περι της του κοσμὸν εκπυρωσεως τοσαυτα φυσιολογησας, υδατος τα εντος πληρωθεις, βολβιτω κατακεχρισμενος απεθανεν. Δημοκριτον δε οι φθειρες. Σωκρατην δε αλλοι φθειρες απεκτειναν. Τι ταυτα; Ενεβης, επλευσας, κατηχθης. Εκβηθι. Ει μεν εφ᾽ ετερον βιον, ουδεν θεων κενον ουδε εκει. Ει δε εν αναισθησιᾳ, πανση (πονῶν)[1] και ἡδονων (αντεχομενος),[2] και λατρευων τοσουτω χειρονι τω αγγειω (ηπερ εςι)[3] το υπηρετουν. Το μεν γαρ νους και Δαιμων· το δε γη και λυθρος.

4. *Μη κατατριψης το υπολειπομενον του βιου μερος εν ταις περι ετερων φαντασιαις, οποταν μη την αναφοραν επι τι κοινωφελες ποιῇ· (μη του επι σοι παρ᾽ αλλοιον εργου ὑςερῇ).[4] Τουτ᾽ εςι, φανταζομενος τι ο δεινα πρασσει, τινος ἑνεκα, και τι λεγει, και τι ενθυμειται, και τι τεχναζεται, και οσα τοιαυτα, (ὁιος ει),[5] αποῤῥεμβεσθαι της του ιδιου ἡγεμονικου παρατηρησεως. Χρη μεν ουν το εικη και το ματην εν τω ἑιρμω των φαντασιων περιιςασθαι, πολυ δε μαλιςα το περιεργον και το κακοηθες. Και εθιςεον ἑαυτον μονα φανταζεσθαι περι ὡν ει τις αφνω επανεροιτο, τι νυν διανοη; μετα παῤῥησιας παραχρημα αν αποκριναιο, οτι το, και το· ως εξ (ἁυτων)[6] ευθυς δηλα ειναι, οτι παντα απλα, και ευμενη, και ζωου κοινωνικου, και αμελουντος ἡδονικων, η καθαπαξ απολαυςικων, φατνασματων· η φιλονεικιας τινος, η βασκανιας και υποψιας, η αλλου (ουτινος)[7] εφ᾽ ω αν ερυθριασειας, εξηγουμενος οτι εν νῷ αυτο ειχες. Ο γαρ τοι ανηρ ο τοιοῦτος,[a] ουκ ετι υπερτιθεμενος το (σωσον),[8] εν αριςοις (σπευδει)[9] ηδη ειναι, ιερευς τις και υπουργος Θεων, χρωμενος (δαιμονιω)[10] τω ενδον ιδρυμενω αυτου, ο παρεχεται τον ανθρωπον αχραντον ηδονων, ατρωτον ὑπο παντος πονου, πασης ανεπαφον υβρεως, πασης (αναικιςον)[11] πονηριας. Αθλητην αθλον του μεγιςου, του*

Vulgata. [1] *πόνων*.—[2] *ανεχ*.—[3] *Η περιεςι το υπ;*—[4] *ητοι γαρ αλλου εργου ςερῃ*. Sensu nullo aut per vim expresso qualis reo sub cruce singultim extorquetur.—[5] *ποιει* lege; *ὁιος ει·* illuc propensus, ut sæpissimè in Theophrasto.—[6] *αυτων*.—[7] *τινος*.—[8] *ως*.—[9] Omissum.—[10] *και*.—[11] *αναισθητον*.

[a] Malim ὁ *τελειος, ουκ ἑτερω ὑπ; τι, ὡς εν αοριςοις, δεη ειναι.*

υπο μηδενος παθους καταβληθηναι, δικαιοσυνη βεβαμμενον εις βαθος, ασπαζομενον μεν εξ ὁλης της ψυχης τα συμβαινοντα και απονεμομενα παντα, μη πολλακις δε, μηδε χωρις μεγαλης και κοινωφελους αναγκης, φανταζομενον τι ποτε αλλος λεγει, η πραττει, η διανοειται· μονα γαρ τα ἑαυτου προς ενεργειαν εχει, και τα εαυτω εκ των ολων συγκλωθομενα διηνεκως εννοει· κἀκεινα μεν καλα παρεχεται, ταυτα δε αγαθα ειναι πεπειςαι· ἡ γαρ εκαςω νεμομενη μοιρα συνεμφερεται τε και συνεμφερει. Μεμνηται δε, και οτι συγγενες παν το λογικον, και οτι κηδεσθαι μεν παντων ανθρωπον κατα την του ανθρωπου φυσιν εςι. Δοξης δε ουχι της παρα παντων ανθεκτεον, αλλα των ομολογουμενως τη φυσει βιουντων μονον. Οι δε μη ὁντως βιουντες, ὁποιοι τινες οικοι τε και εξω της οικιας, και νυκτωρ και μεθ' ημεραν, ὁιοι μεθ' ὁιων φυρωνται, μεμνημενος διατελει. Ου τοινυν ουδε τον παρα των τοιουτων επαινον εν λογω τιθεται, ὁιγε ουδε αυτοι ἑαυτοις αρεσκονται.

5. Μητε ακουσιος ενεργει, μητε ακοινωνητος, μητε ανεξεταςος, μητε ανθελκομενος, μητε κομψεια την διανοιαν σου καλλωπιζε (τῳ),[1] μητε πολυρρημων μητε πολυπραγμων εσο. (Επι δε σοι ο εν σοι Θεος εςω).[2] Προςατης ξωου αρρενος, και πρεσβυτου, και πολιτικου, και Ρωμαιου, και αρχοντος, (τοιον),[3] ανατεταχοτος ἑαυτον, οιος αν ειη τις περιμενων το ανακλητικον εκ του βιου ευλυτος· μητε ορκου δεομενος, μητε ανθρωπου τινος μαρτυρος. (Μονος γαρ τηρει ενδον)[4] το φαιδρον, και το απροσδεες της εξωθεν υπηρεσιας, και το (απεριδεες της εσω)[5] ησυχιας, ην αλλοι (προεχουσιν).[6] Ορθον ουν ειναι χρη, ουχι ορθουμενον.

6. Ει μεν κρειττον ευρισκεις εν τω ανθρωπινω βιω δικαιοσυνης, αληθειας, σωφροσυνης, ανδρειας, και καθαπαξ του αρκεισθαι εαυτη την διανοιαν σου εν ὁις κατα τον λογον τον ορθον πρασσοντα σε παρεχεται, και εν τη ειμαρμενη, (ἡ ενεςι) τοις απροαιρετως απονεμομενοις· ει τουτου, φημι, κρεισσον τι ορας, επ' εκεινο εξ ολης της ψυχης τραπομενος του αριςου ευρισκομενου απολαυε. Ει δε μηδεν κρειττον

Vulgata. [1] καλλωπιζετω.—[2] ετι δε εςω πρ. Pulcherrimo oraculo ita pravissimè corrupto.—[3] Omissum.—[4] εν δε το φ.—[5] απροσδεες.—[6] παρεχουσιν. Stoici intus tuentur ἡσυχιαν quam Epicurei ostentant; προεχουσιν.

φαινεται αυτου του ενιδρυμενου εν σοι Δαιμονος, τας τε ιδιας ὁρμας υποτεταχοτος[a] εαυτω, και τας φαντασιας εξεταζοντος, και των αισθητικων πεισεων, ως ο Σωκρατης ελεγεν, ἑαυτον αφειλκυκοτος, και τοις Θεοις υποτεταχοτος εαυτον, και των ανθρωπων προκηδομενου· ει τουτου παντα τα αλλα μικροτερα και εντελεςερα ευρισκεις, μηδενι χωραν διδου ετερω, προς ο ρεψας απαξ και αποκλινας, ουκ ετι απερισπαςως το αγαθον εκεινο το ιδιον και (κυριον)[1] προτιμᾶν δυνηση· (αντικαθιςασθαι)[2] γαρ τω λογικω και πολιτικω αγαθω ου θεμις ουδ' ὁτιουν ετερογενες· ὁιον τον παρα (των) πολλων επαινον, η αρχας, η πλουτον, η απολαυσεις ἡδονων. Παντα, ταυτα κἀν προς ολιγον εναρμοζειν δοξῃ (κατεκρατηκεν)[3] αφνω και παρηνεγκεν. Συ δε, φημι, ἁπλως και ελευθεριως ἑλου το κρειττον, και τουτου αντεχου. Κρειττον δε το συμφερον· ει μεν το ὡς (ζωου),[4] τουτο τηρει· ει δε το ως (λογικου),[5] αποφηναι, και ατυφως φυλασσε την κρισιν. (Μονον ὁπως, ασφαλως την εξετασιν ποιησῃ),[6] μη τιμησης ποτε ως συμφερον σεαυτου, ὁ αναγκασει σε ποτε την πιςιν παραβηναι, την αιδω εγκαταλιπειν, μισησαι τινα, ὑποπτευσαι, καταρασασθαι, ὑποκρινασθαι, επιθυμησαι τινος τοιχων και παραπετασματων δεομενου. Ο γαρ τον ἑαυτου νουν και Δαιμονα, και τα (εργαςικα)[7] της τουτου αρετης προελομενος, Τραγωδιαν ου ποιει, ου ςεναζει, ουκ ερημιας, ου πολυπληθειας δεησεται. Το μεγιςον, ζησει, μητε διωκων μητε φευγων. Ποτερον δε επι πλεον διαςημα χρονου τω σωματι περιεχομενῃ τῃ ψυχῃ, η επ' ελασσον χρησεται, ουδ' ὁτιουν αυτω μελει. Κἀν γαρ ηδη απαλλασσεσθαι δεη, ὁυτως ευλυτως απεισιν, ως αλλο τι των αιδημονως και κοσμιως ενεργεισθαι δυναμενων ενεργησων· Τουτο μονον παρ' ὁλον τον βιον ευλαβουμενος, το την διανοιαν εν (κρισει)[8] των οικειων νοερου πολιτικου ζωου (αδιαςροφῇ)[9] γενεσθαι.

7. Ουδεν αν εν τῃ διανοιᾳ του κεκολασμενου και εκκεκαθαρμενου πυωδες, ουδε μην μεμολυσμενον, ουδε υπουλον ἑυροις. Ουδε ασυντελη τον βιον αυτου ἡ πεπρωμενη

Vulgata. [1] το σον.—[2] αντικαθησθαι.—[3] σεν.—[4], [5] Transponuntur.—[6] Ad prœc. referuntur.—[7] οργια.—[8] τινι.—[9] τροπῃ.

[a] Malim επιτετ· υποτ. enim posterius, ad Deos.

καταλαμβανει, ὡς αν τις ειποι (ὁιον τινα)[1] τραγωδον προ του τελεσαι και διαδραματισαι απαλλασσεσθαι. Ετι δε ουδεν δουλον, ουδε κομψον, ουδε προσδεδεμενον, ουδε απεσχισμενον, ουδε υπευθυνον, ουδε εμφωλευον.

8. Την ὑποληπτικην δυναμιν σεβου. Εν ταυτη το παν, ἱνα ὑποληψις τω ἡγεμονικω σου μηκετι εγγινηται ανακολουθος τη φυσει, και τη του λογικου ζωου κατασκευη. Αυτη δε επαγγελλεται απροπτωσιαν, και την προς ανθρωπους οικειωσιν, και την τοις Θεοις ακολουθιαν. Παντα ουν ριψας (τἀλλα)[2] μονον τα (λογικα)[3] συνεχε, και ετι συμμνημονευε, ὁτι μονον ζῇ ἑκαςος το παρον τουτο, το ακαριαιον· τα δε αλλα, η βεβιωται, η εν αδηλω· μικρον μεν ουν ὁ ζῇ ἑκαςος· μικρον δε της γης γωνιδιον, ὁπου ζῇ· μικρον δε ἡ μηκιςη ὑςεροφημια· και αυτη δε κατα διαδοχην ανθρωπαριων ταχιςα τεθνηξομενων, και ουκ ειδοτων ουδε ἑαυτους, (ουτι),[4] γε τον προπαλαι τεθνηκοτα.

9. Τοις δε ειρημενοις παραςημασιν ἑν ετι προσεςω, το ὁρον η ὑπογραφην αει ποιεισθαι του ὑποπιπτοντος φανταςου, ὡςε αυτο ὁποιον εςι κατ' ουσιαν, γυμνον (ὑλικων),[5] ὁλον δι' (ὁιων)[6] διηρημενως, βλεπειν· και το ιδιον ονομα αυτου, και τα ονοματα εκεινων εξ ὡν συνεκριθη, και εις ἁ αναλυθησεται, λεγειν παρ' ἑαυτω. Ουδεν γαρ ὁυτω μεγαλοφροσυνης ποιητικον, ὡς το ελεγχειν ὁδω, και (κατ' αληθειαν)[7] ἑκαςον των (εν) τω βιω υποπιπτοντων (διανοεισθαι)[8] και το (απτοητως)[9] εις αυτα ὁραν. Ὡςε συνεπιβαλλειν, ὁποιω τινι (του κοσμου)[10] ὁποιαν τινα τουτο χρειαν παρεχομενον· τινα μεν εχει αξιαν ὡς προς το ὁλον, τινα δε ὡς προς τον ανθρωπον, πολιτην οντα πολεως της ανωτατης, ἡς ἁι λοιπαι πολεις ὡσπερ οικιαι εισιν. Τι εςι, και εκ τινων συγκεκριται, και ποσον χρονον πεφυκε παραμενειν τουτο, το την φαντασιαν μοι νυν ποιουν· και τινὸς αρετης προς αυτο χρεια· ὁιον ἡμεροτητος, ανδρειας, αληθειας, πιςεως, αφελειας, αυταρκειας, των λοιπων. Διο δει εφ' ἑκαςον λεγειν, τουτο μεν παρα θεου ἡκει. Τουτο δε κατα την συλληξιν, και την συμμηρυομενην συγκλωσιν, και την (ςο-

---

Vulgata. [1] τον.—[2] ταυτα.—[3] ὀλιγα.—[4] ουτε.—[5] Omissum.—[6] ὁλων.—[7] και αληθεια.—[8] δυνασθαι· sed magnanimi est, non posse, sed præstare.—[9] αει ουτως.—[10] τω κοσμω.

χαςικην)[1] συντευξιν (τινα ςοιχειων).[2] Τουτο δε παρα του συμφυλου, και συγγενους, και κοινωνου· αγνοουντος μεντοι (ὁ τι)[3] αυτω κατα φυσιν εςιν, αλλ᾽ εγω ουκ αγνοω. Δια τουτο χρωμαι αυτω κατα τον της κοινωνιας φυσικον νομον, ευνοως και δικαιως· ἁμα μεντοι του κατ᾽ αξιαν εν τοις μεσοις (εσω)[4] ςοχαζομαι.

10. Εαν το παρον ενεργῆς, ἑπομενος τω ορθω λογω εσπουδασμενως, ερρωμενως, ευμενως, και μηδεν (ζητων)[5] παρεμπορευμα (αλλο),[6] τον σεαυτου δαιμονα καθαρον (εσω διατηρης), ὡς ει και ηδη αποδουναι δεοι· εαν τουτο συναπτης, μηδεν περιμενων, μηδε φευγων, αλλα τη παρουση κατα φυσιν ενεργεια, και τη ὡν λεγεις και φθεγγη ἡρωικη αληθεια αρκουμενος, ευζωησεις. Εςι δε ουδεις ὁ τουτο κωλυσαι δυναμενος.

11. Ωσπερ ὁι ιατροι αει τα οργανα και σιδηρια προχειρα εχουσι προς τα αιφνιδια των θεραπευματων· ουτω τα δογματα συ ἑτοιμα εχε προς το τα Θεια και ανθρωπινα ειδεναι· και παν και το μικροτατον ὁυτω ποιειν, ὡς της αμφοτερων προς αλληλα συνδεσεως μεμνημενον. Ουτε γαρ ανθρωπινον τι ανευ της επι τα Θεια συναναφορας ευ πραξεις, ουτε εμπαλιν.

12. Μηκετι πλανῶ· ουτε γαρ τα ὑπομνηματια σου μελλεις (εσαει)[8] αναγινωσκειν, ουτε τας των αρχαιων Ρωμαιων και Ελληνων πραξεις, και τας εκ των συγγραμματων εκλογας, ἁς εις το γηρας σαυτω απετιθεσο. Σπευδε ουν ες τελος, και τας κενας ελπιδας αφεις, σαυτω βοηθει, ειτι σοι μελει σεαυτου.

13. Ως εξεςιν, ουκ ισασι (ποια ςοιχεια)[9] σημαινει το κλεπτειν, το σπειρειν, το ωνεισθαι, το ησυχαζειν, (αυτα) ὁρᾶν τα πρακτεα, ὁ ουκ οφθαλμοις γινεται, αλλ᾽ ἑτερα τινι οψει.

13. Σωμα, ψυχη, νους. Σωματος αισθησεις, ψυχης ὁρμαι, νου δογματα. Το μεν τυπουσθαι φανταςικως, και

Vulgat. [1] τοιαυτην. Hæc vox scribæ pro hirco expiatorio fuit, super quem sibi exonerabat, si quid in texto ejus simile, plus minusve, idemque difficile, autumabat. Ita summatim expediens quælibet commissa vel omissa officii sui. Hoc passim reperies.—[2] τε και τυχην.—[3] οτι τι.—[4] συςοχ.—[5] Omittit.—[6] αλλα.—[7] εςωτα τηρης.—[8] Omittit.—[9] ποσα σημαινει, quo profecto σημαινει nihil.

των βοσκηματων· το δε νευροσπαςεισθαι ὁρμητικως, και των θηριων, και των ανδρογυνων, και Φαλαριδος, και Νερωνος. Το δε τον νουν ἡγεμονα εχειν επι τα φαινομενα καθηκοντα, και των Θεους μη νομιζοντων, και των την πατριδα εγκαταλειποντων, και των ποιουντων ὁτιουν, επειδαν κλεισῶσι τας θυρας. Ει ουν (προς τα αλογα)[1] κοινα εςι τα ειρημενα, λοιπον το ιδιον εςι του αγαθου, φιλειν μεν και ασπαζεσθαι τα συμβαινοντα και συγκλωθομενα αυτω· τον δε ενδον εν τω ςηθει ἱδρυμενον Δαιμονα μη φυρειν, μηδε θορυβειν οχλω φαντασιων, αλλα ἱλεων διατηρειν, κοσμιως επομενον τω Θεω· μητε φθεγγομενον τι παρα τ' αληθη, μητε ενεργουντα παρα τα δικαια. Ει δε απιςουσιν αυτω παντες ανθρωποι, (ετι)[2] ἁπλως και αιδημονως και ευθυμως βιοῖ, ουδε χαλεπαινει τινι τουτων, ουτε παρατρεπεται της ὁδου της αγουσης επι το τελος του βιου· εφ' ὁ δει ελθειν καθαρον, ησυχιον, ευλυτον, αβιαςως τῃ ἑαυτου μοιρᾳ συνηρμοσμενον.

ΒΙΒΛΙΟΝ Δ.

1. Το ενδον κυριευον, ὁταν κατα φυσιν εχῃ, ουτως ἑςηκε προς τα συμβαινοντα, ωςε αει προς το δυνατον και διδομενον μετατιθεσθαι ραδιως. Ὑλην γαρ αποτεταγμενην ουδεμιαν (αιτει)[3] αλλα ὁρμᾶ μεν προς τα ἡγουμενα μεθ' ὑπεξαιρεσεως· το δε αντεισαγομενον ὑλην ἑαυτω ποιει· ὡσπερ το πυρ ὁταν επικρατῇ των επεμπιπτοντων, ὑφ' ὡν αν μικρος τις λυχνος εσβεσθη· το δε λαμπρον πυρ ταχιςα εξωκειωσεν ἑαυτω τα ἐπιφορουμενα, και κατηναλωσεν· και εξ αυτων εκεινων επι μειζον ηρθη.

2. Μηδεν ενεργημα εικῇ, μηδε αλλως η κατα θεωρημα συμπληρωτικον της τεχνης ενεργεισθω.

3. Αναχωρησεις (ἑαυτοις)[4] ζητουσιν· αγροικιας, και αιγιαλους, και ορη. Ειωθας δε και συ τα τοιαυτα μαλιςα

Vulgata. [1] λοιπα κ. ε. προς τα ειρ.—[2] ὁτι.—[3] φιλει.—[4] ἑαυτον.

ποθειν. Ολον δε τουτο ιδιωτικωτατον εϛιν. Εξον, ἡς αν ὡρας εθελησης, εις (σεαυτον)[1] αναχωρειν· ουδαμου γαρ ουτε ἡσυχιωτερον, ουτε απραγμονεϛερον ανθρωπος αναχωρει, η εις την ἑαυτου ψυχην. Μαλιϛ' ὁϛις εχει ενδον τοιαυτα, εις ἁ εγκυψας, εν παση ευμαρεια ευθυς γινεται. Την δε ευμαρειαν ουδεν αλλο λεγω η ευκοσμιαν. Συνεχως ουν διδου σεαυτω ταυτην την αναχωρησιν, και ανανεου σεαυτον. Βραχεα δε εϛω και ϛοιχειωδη, ἁ ευθυς απαντησαντα, αρκεσει εις το πασαν (αυλην)[2] αποκλυσαι, και αποπεμψαι σε μη δυσχεραινοντα εκεινοις εφ' ἁ επανερχη. Τινι γαρ δυσχεραινεις; Τη των ανθρωπων κακια; Αναλογισαμενος το κριμα, ὁτι τα λογικα ζωα αλληλων ἑνεκα γεγονε· και οτι το ανεχεσθαι, μερος της δικαιοσυνης· και ὁτι ακοντες ἁμαρτανουσι· και ποσοι ηδη διεχθρευσαντες, ὑποπτευσαντες, μισησαντες, διαδορατισθεντες, εκτετανται, τετεφρωνται· παυου ποτε. Αλλα και τοις εκ των ολων απονεμομενοις δυσχεραινεις; (αναθεωρησαμενος)[3] το διεζευγμενον, ητοι Προνοια, η ατομοι, η εξ ὁσων απεδειχθη, οτι ὁ κοσμος ὡσανει πολις. Αλλα τα σωματικα σου ἁψεται (τι;)[4] Εννοησας οτι ουκ επιμιγνυται λειως η τραχεως κινουμενω πνευματι ἡ διανοια, επειδαν απαξ ἑαυτην απολαβη, και γνωριση την ιδιαν εξουσιαν· και λοιπον ὁσα περι πονου και ἡδονης ακηκοας και συγκατεθου. Αλλα το δοξαριον σε περισπασει; Απιδωνεις το ταχος της παντων ληθης, και το χαος του εφ' ἑκατερα απειρου αιωνος, και το κενον της απηχησεως, και το ευμεταβολον και ακριτον των εφ' (ἡμεραν)[5] δοκουντων, και το ϛενον του τοπου εν ᾡ περιγραφεται. Ολη τε γαρ ἡ γη ϛιγμη, και ταυτης (ποϛον)[6] γωνιδιον ἡ κατοικησις αὑτη; και ενταυθα ποσοι και ὁιοι τινες ὁι επαινεσομενοι; Λοιπον ουν μεμνησο της ὑποχωρησεως της ες τουτο (ακριδιον)[7] ἑαυτου, και προ παντος μη σπω̃, μηδε κατεντεινου, αλλ' ελευθερος εσο, και ὁρα τα πραγματα ὡς ανηρ, ὡς [8](φιλ)ανθρωπος, ὡς πολι-

---

Vulgata. [1] το· perperam, et confusâ signif.—[2] αυτην. Corrupto sensu, sed αυλη Imperatoris propria—quippe hæc Marci A. εις ἑαυτον.—[3] ανανεωσαμενος.—[4] ετι.—[5] ἡμιν.—[6] ποσον.—[7] αγροιδιον. Vehementer, sed frustra, se, sensumque ac lectorem super hoc vocabulo cruciant comm. ακριδιον ab ακρα = arx.—scilicet conscientiæ. Quam et alibi pro arce M. Ant.—[8] ανθρ.

των βοσκηματων· το δε νευροσπαςεισθαι ὁρμητικως, και των θηριων, και των ανδρογυνων, και Φαλαριδος, και Νερωνος. Το δε τον νουν ἡγεμονα εχειν επι τα φαινομενα καθηκοντα, και των Θεους μη νομιζοντων, και των την πατριδα εγκαταλειποντων, και των ποιουντων ὁτιουν, επειδαν κλεισῶσι τας θυρας. Ει ουν (προς τα αλογα)[1] κοινα εςι τα ειρημενα, λοιπον το ιδιον εςι του αγαθου, φιλειν μεν και ασπαζεσθαι τα συμβαινοντα και συγκλωθομενα αυτω· τον δε ενδον εν τω ςηθει ἱδρυμενον Δαιμονα μη φυρειν, μηδε θορυβειν οχλω φαντασιων, αλλα ἱλεων διατηρειν, κοσμιως επομενον τω Θεω· μητε φθεγγομενον τι παρα τ' αληθη, μητε ενεργουντα παρα τα δικαια. Ει δε απιςουσιν αυτω παντες ανθρωποι, (ετι)[2] ἁπλως και αιδημονως και ευθυμως βιοῖ, ουδε χαλεπαινει τινι τουτων, ουτε παρατρεπεται της ὁδου της αγουσης επι το τελος του βιου· εφ' ὁ δει ελθειν καθαρον, ησυχιον, ευλυτον, αβιαςως τῃ ἑαυτου μοιρᾳ συνηρμοσμενον.

ΒΙΒΛΙΟΝ Δ.

1. *Το ενδον κυριευον, ὁταν κατα φυσιν εχῃ, ουτως ἑςηκε προς τα συμβαινοντα, ωςε αει προς το δυνατον και διδομενον μετατιθεσθαι ραδιως. Ὑλην γαρ αποτεταγμενην ουδεμιαν (αιτει)[3] αλλα ὁρμᾷ μεν πρὸς τα ἡγουμενα μεθ' ὑπεξαιρεσεως· το δε αντεισαγομενον ὑλην ἑαυτω ποιει· ὡσπερ το πυρ ὁταν επικρατῇ των επεμπιπτοντων, ὑφ' ὡν αν μικρος τις λυχνος εσβεσθη· το δε λαμπρον πυρ ταχιςα εξωκειωσεν ἑαυτω τα ἐπιφορουμενα, και κατηναλωσεν· και εξ αυτων εκεινων επι μειζον ηρθη.*

2. *Μηδεν ενεργημα εικῇ, μηδε αλλως η κατα θεωρημα συμπληρωτικον της τεχνης ενεργεισθω.*

3. *Αναχωρησεις (ἑαυτοις)[4] ζητουσιν· αγροικιας, και αιγιαλους, και ορη. Ειωθας δε και συ τα τοιαυτα μαλιςα*

Vulgata. [1] λοιπα κ. ε. προς τα ειρ.—[2] ὁτι.—[3] φιλει.—[4] ἑαυτον.

ποθειν. Ολον δε τουτο ιδιωτικωτατον εςιν. Εξον, ἡς αν ὡρας εθελησης, εις (σεαυτον)[1] αναχωρειν· ουδαμου γαρ ουτε ἡσυχιωτερον, ουτε απραγμονεςερον ανθρωπος αναχωρει, η εις την ἑαυτοι ψυχην. Μαλις' ὁςτς εχει ενδον τοιαυτα, εις ἁ εγκυψας, εν παση ευμαρεια ευθυς γινεται. Την δε ευμαρειαν ουδεν αλλο λεγω η ευκοσμιαν. Συνεχως ουν διδου σεαυτω ταυτην την αναχωρησιν, και ανανεου σεαυτον. Βραχεα δε εςω και ςοιχειωδη, ἁ ευθυς απαντησαντα, αρκεσει εις το πασαν (αυλην)[2] αποκλυσαι, και αποπεμψαι σε μη δυσχεραινοντα εκεινοις εφ' ἁ επανερχη. Τινι γαρ δυσχεραινεις; Τη των ανθρωπων κακια; Αναλογισαμενος το κριμα, ὁτι τα λογικα ζωα αλληλων ἑνεκα γεγονε· και οτι το ανεχεσθαι, μερος της δικαιοσυνης· και ὁτι ακοντες ἁμαρτανουσι· και ποσοι ηδη διεχθρευσαντες, ὑποπτευσαντες, μισησαντες, διαδορατισθεντες, εκτετανται, τετεφρωνται· πανου ποτε. Αλλα και τοις εκ των ολων απονεμομενοις δυσχεραινεις; (αναθεωρησαμενος)[3] το διεζευγμενον, ητοι Προνοια, η ατομοι, η εξ ὁσων απεδειχθη, οτι ὁ κοσμος ὡσανει πολις. Αλλα τα σωματικα σου ἁψεται (τι;)[4] Εννοησας οτι ουκ επιμιγνυται λειως η τραχεως κινουμενω πνευματι ἡ διανοια, επειδαν απαξ ἑαυτην απολαβη, και γνωριση την ιδιαν εξουσιαν· και λοιπον ὁσα περι πονου και ἡδονης ακηκοας και συγκατεθου. Αλλα το δοξαριον σε περισπασει; Απιδωνεις το ταχος της παντων ληθης, και το χαος του εφ' ἑκατερα απειρου αιωνος, και το κενον της απηχησεως, και το ευμεταβολον και ακριτον των εφ' (ἡμεραν)[5] δοκουντων, και το ςενον του τοπου εν ὡ περιγραφεται. Ολη τε γαρ ἡ γη ςιγμη, και ταυτης (ποςον)[6] γωνιδιον ἡ κατοικησις ἀυτη; και ενταυθα ποσοι και ὁιοι τινες ὁι επαινεσομενοι; Λοιπον ουν μεμνησο της ὑποχωρησεως της ες τουτο (ακριδιον)[7] ἑαυτου, και προ παντος μη σπῶ, μηδε κατεντεινου, αλλ' ελευθερος εσο, και ὁρα τα πραγματα ὡς ανηρ, ὡς [8](φιλ)ανθρωπος, ὡς πολι-

Vulgata. [1] *το·* perperam, et confusâ signif.—[2] *αυτην.* Corrupto sensu, sed *αυλη* Imperatoris propria—quippe hæc Marci A. *εις ἑαυτον.*—[3] *ανανεωσαμενος.*—[4] *ετι.*—[5] *ἡμιν.*—[6] *ποσον.*—[7] *αγθριδιον.* Vehementer, sed frustra, se, sensumque ac lectorem super hoc vocabulo cruciant comm. *ακριδιον* ab *ακρα* = arx.—scilicet conscientiæ. Quam et alibi pro arce M. Ant.—[8] *ανθρ.*

της, ὡς θνητον ζωον. Εν δε τοις προχειροτατοις εις ἁ εγκυψεις, ταυτα εσω τα δυο. Εν μεν, ὁτι τα πραγματα ουκ ἁπτεται της ψυχης, αλλ' εξω ἑςηκεν ατρεμουντα. Αι δε οχλησεις εκ μονης της ενδον ὑποληψεως. Ετερον δε, ὁτι παντα ταυτα ὁσα ὁρας, ὁσον ουδεπω μεταβαλεῖ, και ουκετι εςαι. Και ὁσων ηδη μεταβολαις αυτος παρατετυχηκας, συνεχως διανοου. Ο κοσμος, αλλοιωσις. Ο βιος, ὑποληψις.

4. *Ει το νοερον ἡμιν κοινον, και ὁ λογος, καθ' ον λογικοι εσμεν, κοινος. Ει τουτο, και ὁ προστακτικος των ποιητεων, η μη, λογος κοινος. Ει τουτο, και ὁ νομος κοινος. Ει τουτο, πολιται εσμεν. Ει τουτο, πολιτευματος τινος μετεχομεν. Ει τουτο, ὁ κοσμος ὡσανει πολις εςι. Τινος γαρ αλλου φησει τις το των ανθρωπων παν γενος κοινου πολιτευματος μετεχειν; Εκειθεν δε, εκ της κοινης ταυτης πολεως, και αυτο το νοερον και λογικον και νομικον ἡμιν, η ποθεν; Ωσπερ γαρ το γεωδες μοι απο τινος γης απομεμεριςαι, και το ὑγρον αφ' ἑτερου ςοιχειου, και το πνευματικον απο πηγης τινος, και το θερμον και πυρωδες εκ τινος ιδιας (απαυγης).*[1] *Ουδεν γαρ εκ του μηδενος ερχεται, ὡσπερ μηδ' εις το ουκ ον απερχεται· ουτω δη, και το νοερον ηκει ποθεν.*

5. *Ο θανατος τοιουτος, ὁιον γενεσις· Φυσεως μυςηριον. Συγκρισις εκ των αυτων ςοιχειων, και διαλυσις εις ταυτά. Ολως δ' ουκ εφ' ᾡ αν τις αισχυνθειη· ου γαρ παρα το ἑξης τω νοερω ζωω· ουδε παρα τον λογον της παρασκευης.*

6. *Ταυτα ὁυτως ὑπο των τοιουτων πεφυκε γινεσθαι εξ αναγκης. Ο δε τουτο μη θελων, θελει την συκην οπον μη εχειν. Ολως δ' εκεινου μεμνησο, ὁτι εντος ολιγιςου χρονου, και συ και ὁυτος τεθνηξεσθε· μετα βραχυ δε, ουδε ονομα ὑμων ὑπολειφθησεται.*

7. *Αρον την ὑποληψιν, ηρται το βεβλαμμαι. Αρον το βεβλαμμαι, ηρται ἡ βλαβη. Ο χειρω αυτον ἑαυτου ανθρωπον ου ποιει, τουτο ουδε τον βιον αυτου χειρω ποιει, ουδε βλαπτει. Ουτε εξωθεν ουτε ενδοθεν (ηναγκαςαι. Η) του συμφεροντος φυσις (τετακτο)*[2] *τουτο ποιειν.*

Vulgata. [1] *πηγης.*—[2] **Hoc sensus postulat sed vulg. omittit.**

8. *Οτι παν το συμβαινον δικαιως συμβαινει· ὁ, εαν ακριβως παραφυλασσης, ἑυρησεις. Ου λεγω μονον κατα το ἑξης, αλλ' οτι κατα το δικαιον, και ὡς αν ὑπο τινος απονεμοντος το κατ' αξιαν. Παραφυλασσε ουν ως ηρξω, και, ο τι αν ποιης, (συντακτως)*[1] *ποιει, συν τω αγαθος ειναι, καθ' ο νενοηται ιδιως ὁ αγαθος. Τουτο επι πασης ενεργειας σωζε.*

9. *Μη τοιαυτα ὑπολαμβανε, ὁια ὁ ὑβριζων κρινει, η ὁια σε κρινειν βουλεται. Αλλα ιδε αυτα, ὁποια κατ' αληθειαν εςι.*

10. *Δυο ταυτας ἑτοιμοτητας εχειν αει δει· την μεν, προς το πραξαι μονον, ὁπερ αν ὁ της βασιλικης και νομοθετικης λογος ὑποβαλλη επ' ωφελεια ανθρωπων. Την δε, προς το μεταθεσθαι, εαν αρα τις παρη διορθων, και μεταγων απο τινος οιησεως. Την μεντοι μεταγωγην, αει απο πιθανοτητος ὡς δικαιου η κοινωφελους γινεσθαι, και τα (παρακλητικα)*[2] *τοιαυτα μονον ειναι δει· ουχ ὁτι ἡδυ η ενδοξον εφανη. Λογον εχεις; Εχω. Τι ουν ου χρᾶ; τουτου γαρ το ἑαυτου ποιουντος, τι αλλο θελεις;*

11. *Ενυπεςης ὡς μερος, εναφανισθηση τω γεννησαντι· μαλλον δε αναληφθηση εις τον λογον αυτου τον σπερματικον κατα μεταβολην. Πολλα λιβανωτου βωλαρια επι του αυτου βωμου, το μεν, προκατεπεσεν, το δε, ὑςερον. Διαφερει δ' ουδεν. (Αυτος δε καθ' ημεράν)*[3] *Θεος αυτοις δοξεις, ὁις νυν θηριον και πιθηκος, εαν ανακαμψης επι τα δογματα, και τον σεβασμον του λογου. Μη ως μυρια μελλων ετη ζην. Το χρεων επηρτηται. Εως ζης, ἑως εξεςι, αγαθος γινου.*

12. *Οσην ασχολιαν κερδαινει ὁ μη βλεπων τι ὁ πλησιον ειπεν, η επραξεν, η διενοηθη· αλλα μονον τι αυτος ποιει, ἱνα αυτο τουτο δικαιον ῃ και ὁσιον. (Μη, κατα την Αταλαντην, μηλον ηλιθιος)*[4] *περιβλεπεσθαι, αλλ' επι της γραμμης τρεχειν ορθον, μη διερριμμενον.*

13. *Ο περι την ὑςεροφημιαν επτοημενος, ου φαντα-*

Vulgata. [1] *συν τουτω.*—[2] *παραπλησια* unde nihil intelligitur. —[3] *εντος δεκα ἡμερων.*—[4] *Η, κατα τον Αγαθωνα, μη μελαν ηθος π.* Locus hic patibularius dudum extat, pro torquendis sententiis ac ingeniis. Quorsum et quousque? Atalantam cum Hippolyto respicit—id filum est Labyrinthi.

ζεται, ὁτι ἑκαςος των μεμνημενων αυτου ταχιςα και αυτος αποθανειται. Ειτα παλιν και αυτος ὁ εκεινον διαδεξαμενος, μεχρι και πασα η μνημη αποσβῇ δια επτοημενων και σβεννυμενων προιουσα. Ὑποθου δ' οτι και αθανατοι μεν ὁι μεμνησομενοι, αθανατος δ' ἡ μνημη· τι ουν τουτο προς σε; και ουδεν λεγω οτι προς τον τεθνηκοτα, αλλα προς τον ζωντα, τι ὁ επαινος, πλην αρα δι' (εικονοσκιαν)[1] τινα; (Παριης)[2] γαρ νυν (κρεας ὡς),[3] την φυσικην δοσιν, αλλου τινος (εχομενος λογοδειπνου).[4]

14. *Παν και το οπωσουν καλον εξ ἑαυτου καλον εςι, και εφ' ἑαυτω καταληγει, ουκ εχον μερος ἑαυτου τον επαινον. Ουτε γ' ουν χειρον η χρειττον γινεται το επαινουμενον. Τουτο φημι και επι των κοινοτερον καλων λεγομενων· ὁιον επι των ὑλικων, και επι των τεχνικων κατασκευασματων. Το δε δη οντως[a] καλον, τινος χρειαν εχει; ου μαλλον η Νομος· ου μαλλον η Αληθεια· ου μαλλον η Ευνοια, η Αιδως. Τι τουτων δια το επαινεισθαι καλον εςιν, η ψεγομενον φθειρεται; Σμαραγδον γαρ ἑαυτου χειρον γινεται εαν μη επαινηται; Τι δε χρυσος, ελεφας πορφυρα, μαχαιριον, ανθυλλιον, δενδρυφιον;*

15. *Ει διαμενουσιν ἁι ψυχαι, πως αυτας εξ αιδιου χωρει ὁ αηρ; Πως δε ἡ γη χωρει τα των εκ τοσουτου αιωνος θαπτομενων σωματα; Ὡσπερ γαρ ενθαδε, ἡ τουτων προς ἡντινα (επιδιασιν νεαν)[4] μεταβολη και διαλυσις χωραν αλλοις νεκροις ποιει· ὁυτως ἁι εις τον αερα μεθιςαμεναι ψυχαι, επι ποσον συμμεινασαι, μεταβαλλουσι, και χεονται, και εξαπτονται, εις τον των ὁλων σπερματικον λογον αναλαμβανομεναι· και τουτον τον τροπον χωραν ταις (προσενοικιζομεναις)[5] παρεχουσι. Τουτο δ' αν τις αποκριναιτο εφ' ὑποθεσει του τας ψυχας διαμενειν. Χρη δε μη μονον ενθυμεισθαι το πληθος των θαπτομενων ὁυτωσι σωματων, αλλα και το των ἑκαςης ημερας εσθιομενων, υφ' ημων τε και των αλλων ζωων· ὁσος γαρ αριθμος*

Vulgata. [1] *οικονομιαν*. Hæc quoque perversissimè a criticis distorta. Simplex itidem explicatio est. Æsopi canem indicat, qui umbram pro carne arripit. Hinc e chao cosmus.—[2] *παρες*.—[3] *ακαιρως*.—[4] *εχομενου λογου λοιπον*.—[5] *επιδιαμονην*.—[6] *προσουν*.

[a] Malim *δεοντως*.

καταναλισκεται, και όντωσι πως θαπτεται εν τοις των τρεφομενων σωμασι; Και όμως δεχεται ή χωρα άυτη, δια τας εξαιματωσεις, δια τας εις το αερωδες, η πυρωδες αλλοιωσεις. (Τις επι τουτου ή ίςορια της αληθειας; Διαιρεσις εις το ύλικον, και εις το αιτιωδες.)[1]

16. Μη απορρεμβεσθαι· αλλ' επι πασης όρμης το δικαιον αποδιδοναι. Και επι πασης φαντασιας σωζειν το καταληπτικον.

17. Παν μοι συναρμοζει, ό σοι εναρμοςον εςιν, ω Κοσμε. Ουδεν μοι προωρον, ουδε οψιμον, το σοι ευκαιρον. Παν μοι καρπος, ό φερουσιν άι σαι ώραι. Ω Φυσις, εκ σου παντα, εν σοι παντα, εις σε παντα. Εκεινος μεν φησι, Πολι φιλη Κεκροπος· συ δε ουκ ερεις, Πολι φιλη Διος.

18. Ολιγα πρησσε, φησιν, ει μελλεις ευθυμησειν. (Ειτα)[2] μηδεν αμεινον. (Δει)[3] τ' αναγκαια πρασσειν, και όσα ό του φυσει πολιτικου ζωου λογος άιρεῖ, και ώς άιρεῖ. Τουτο γαρ ου μονον την απο του καλως πρασσειν ευθυμιαν φερει, αλλα και την απο του ολιγα πρασσειν. Τα πλειςα γαρ ών λεγομεν και πρασσομεν, ουκ αναγκαια οντα, εαν τις περιελη, ευσχολωτερος και αταρακτοτερος εςαι. 'Οθεν δει, και παρ' έκαςα έαυτον ύπομιμνησκειν, μη τι τουτο των αναγκαιων; Δει δε μη μονον πραξεις τας μη αναγκαιας περιαιρειν, αλλα και φαντασιας· ουτως γαρ ουδε πραξεις παρελκουσαι επακολουθησουσι.

19. Πειρασον πως σοι χωρει και ό του αγαθου ανθρωπου βιος· του αρεσκομενου μεν τοις εκ των ολων απονεμομενοις, αρκουμενου δε τη ιδια πραξει δικαια και διαθεσει ευμενει. Εωρακας εκεινα, ιδε και ταυτα. Σεαυτον μη ταρασσε. Απλωσον σεαυτον. 'Αμαρτανει τις; έαυτω άμαρτανει. Συμβεβηκε σοι τι; Καλως. Εκ των όλων απ' αρχης σοι συγκαθειμαρτο, και συνεκλωθετο παν το συμβαινον. Το δ' όλον, βραχυς ό βιος. Κερδαντεον το παρον συν ευλογιςια και δικη. Νηφε ανειμενος.

20. Ητοι Κοσμος διατεταγμενος, η κυκεων (συμπεφυραμενος.[4] Ου μεν·) αλλα Κοσμος. Η εν σοι μεν τις κοσ-

---

Vulgata. [1] V. hæc ultima sequentibus adjungit.—[2] Omitt.—[3] του. Tota phrasis inconcinna; ut supra, elegans satis.—[4] συμπεφορημενος μεν, αλλα κοσμος. De hoc multifaria criti-

μος ὑφιςασθαι δυναται, εν δε τω παντι ακοσμια, και ταυτα, ουτω παντων διακεκριμενων και διακεχυμενων και συμπαθων;

21. (*Διελον*)[1] *ηθος. Θηλυ ηθος, περισκελες ηθος, θηριωδες, βοσκηματωδες, παιδαριωδες, βλακικον, κιβδηλον, βωμολοχον, καπηλικον, τυραννικον. Ει ξενος Κοσμου ὁ μη γνωριζων τα εν αυτω οντα, ουκ* (*ἁυτου*)[2] *ξενος και ὁ μη γνωριζων τα γενομενα; Φυγας ὁ φευγων τον πολιτικον λογον. Τυφλος ὁ καταμυων τω νοερω ομματι. Πτωχος ὁ ενδεης ἑτερου, και μη παντα εχων παρ᾽ ἑαυτου τα εις τον βιον χρησιμα. Αποςημα Κοσμου ὁ αφιςαμενος, και χωριζων ἑαυτον του της κοινης φυσεως λογου δια το δυσαρεςειν τοις συμβαινουσιν. Εκεινη γαρ φερει τουτο, ἡ και σε ηνεγκεν. Αποσχισμα πολεως ὁ την ιδιαν ψυχην της των λογικων αποσχιζων, μιας ουσης.*

22. *Ο μεν χωρις χιτωνος φιλοσοφει, ο δε χωρις βιβλιου. Αλλος ουτως ημιγυμνος, αρτους ουκ εχω, φησι, και εμμενω τω λογω. Εγω δε τροφας τας εκ μαθηματων ουκ εχω, και εμμενω.* (*Καλως. Εμμενε ουν*).[3] *Το* (*δε*) *τεχνιον ὁ εμαθες φιλει, τουτω προσαναπαυου. Το δε ὑπολοιπον του βιου διεξελθε, ὡς Θεοις μεν επιτετροφως τα σεαυτου παντα εξ ὁλης της ψυχης. Ανθρωπων δε μηδενος μητε τυραννον, μητε δουλον ἑαυτον καθιςας.*

23. *Επινοησον λογου χαριν τους επι Ουεσπασιανου καιρους. Οψει ταυτα παντα. Γαμουντας, παιδοτροφουντας, νοσουντας, αποθνησκοντας, πολεμουντας, εορταζοντας, εμπορευομενους, γεωργουντας, κολακευοντας, αυθαδιζομενους, ὑποπτευοντας, επιβουλευοντας, αποθανειν τινας ευχομενους, γογγυζοντας επι τοις παρουσιν, ερωντας, θησαυριζοντας, ὑπατειας, βασιλειας, επιθυμουντας. Ουκουν εκεινος μεν ὁ τουτων βιος, ουκ ετι ουδαμου. Παλιν επι τους καιρους τους Τραϊανου μεταβηθι. Παλιν τα*

---

corum lis, mille ineptiæ. Ista, quam substitui lectio, tam certa, quam simplex ac decorè congruens. Mirum, quod tam diu latuerit, gemma sub pedibus in pulvere obvia.—[1] *Μελαν ηθος.* Hoc flagitium semel admissum, (vide paullò supra in hoc libro) scribam velut Nemesis quædam, sequitur, et identidem se obtrudit. Vide positum 4 in Præfatione.—[2] *ἡττον·* ineptum prorsum.—[3] Per hunc pontem hiulca ac manca conjunxi et reconstitui. Probet qui præteriit.

αυτα παντα. Τεθνηκε κἀκεινος ὁ βιος. Ὁμοιως και τας αλλας επιγραφας χρονων και ολων εθνων επιθεωρει, και βλεπε, ποσοι κατενταθεντες, μετα μικρον επεσον, και ανελυθησαν εις τα ϛοιχεια. Μαλιϛα δε αναπολητεον εκεινους ὁυς αυτος εγνως κενα σπωμενους, αφεντας ποιειν το κατα την ιδιαν κατασκευην, και τουτου απριξ εχεσθαι, και τουτω αρκεισθαι. Αναγκαιον δε ὡδε το μεμνησθαι, ὁτι και ἡ επιϛροφη καθ᾽ ἑκαϛην πραξιν ιδιαν αξιαν εχει και συμμετριαν. Ὁυτω γαρ ουκ αποδυσπετησεις, εαν μη επι πλεον η προσηκει περι τα ελασσω (κατεντεινη).[1]

24. *Αι παλαι συνηθεις λεξεις, γλωσσηματα νυν. Ὁυτως ουν και τα ονοματα των παλαι πολυυμνητων νυν τροπον τινα γλωσσηματα εϛιν. Καμιλλος, Καισων, Ουολεσος, Λεοννατος. Κατ᾽ ολιγον δε και Σκιπιων και Κατων. Ειτα και Αυγουϛος. Ειτα και Αδριανος και Αντωνινος. Εξιτηλα γαρ παντα, και μυθωδη ταχυ γινεται. Ταχυ δε και παντελης ληθη κατεχωσεν. Και ταυτα λεγω επι των θαυμαϛως πως λαμψαντων. Οι γαρ λοιποι ἁμα τῳ εκπνευσαι, αϊϛοι, απυϛοι. Τι δε και εϛιν ολως το αειμνηϛον; Ὁλον κενον. Τι ουν εϛι περι ὁ δει σπουδην εισφερεσθαι; Εν τουτο, διανοια δικαια, και πραξεις κοινωνικαι, και λογος ὁιος μηποτε διαψευσασθαι, και διαθεσις ασπαζομενη παν το συμβαινον ὡς αναγκαιον, ὡς γνωριμον, ὡς απ᾽ αρχης (ϛευττιης)*[2] *και πηγης ρεον. Εχων σεαυτον τη Κλωθοι (συναφει διδου)*[3] *παρεχων συννησαι, ὁις τισι ποτε πραγμασι βουλεται. Παν εφημερον, και το μνημονευον, και το μνημονευομενον. Θεωρει διηνεκως παντα κατα μεταβολην (φθινομενα ἁ)*[4] *γινεται. Και εθιζου εννοειν, οτι ουδεν ουτως φιλει ἡ των ὁλων Φυσις, ως το (τακτικον).*[5] *Τα οντα μεταβαλλειν, και ποιειν νεα ομοια. Σπερμα γαρ τροπον τινα παν το ον του εξ αυτου εσομενου. Συ δε*

Vulgata. [1] *καταγινη*· sed si ita, energia desideratur.—[2] *τοιαυτης*. Ecce iterum! Vox magica, vel potius saga familiaris, quæ præsto est, si quid in texto deest, abest, operi est vel oneri.—[3] *συνεπιδιδου*· pro æreo aureum dedi.—[4] *γινομενα γιν*· cæca phrasis.—[5] *το τα οντα*. Quod significationi sufficit, sed offendit aurem criticam. Etenim istæ "aculeatæ Stoicorum sententiæ" limâ quâdam ingenii exquisitiore fingenda sunt, ac præ rudibus illustranda. Quo subtiliora, eo ad punctum politiora. In his, *δει ρυθμον επεσθαι λογῳ*. Plato.

μονα σπερματα φανταζεις τα εις γην, η μητραν καταβαλλομενα. Τουτο δε λιαν ιδιωτικον.

25. Ηδη τεθνηξη, και ουπω ουτε απλους, ουτε αταραχος, ουτε ανυποπτος του βλαβηναι αν εξωθεν, ουτε ιλεως προς παντας· ουτε το φρονειν εν μονω τω δικαιοπραγειν τιθεμενος.

26. Τα ἡγεμονικα αυτων διαβλεπε, και τους (ὡς)[1] φρονιμους, ὁια μεν φευγουσιν, ὁια δε διωκουσιν. Εν αλλοτριω ἡγεμονικω κακον σον ουκ ὑφιςαται, ουδε (μην) εν τινι τροπη και ετεροιωσει του περιεχοντος. Που ουν; Ὁπου το περι κακων ὑπολαμβανον σοι εςι. Τουτο ουν μη ὑπολαμβανετω, και παντα εν εχει· κἀν το εγγυτατω αυτου το σωματιον τεμνηται, καιηται, διαπνισκηται, σηπηται, ὁμως το ὑπολαμβανον περι τουτων (νοερον)[2] ησυχαζετω. (Επι σοι τουτ')[3] εςι. Κρινετω μητε κακον τι ειναι, μητε αγαθον, ὁ επισης δυναται κακω ανδρι και αγαθω συμβαινειν· ὁ γαρ και τω κατα φυσιν, και τω παρα φυσιν βιουντι επισης συμβαινει, ουτε (τουτῳ)[4] κατα φυσιν εςιν, ουτ' (εκεινῳ) παρα φυσιν.

27. Ὡς ἑν ζωον τον κοσμον, μιαν ουσιαν, και ψυχην μιαν επεχον, συνεχως επινοειν. Και πως εις αισθησιν μιαν, την τουτου παντα αναδιδοται. Και πως ορμη μιᾳ παντα πρασσει, και πως παντα παντων των γινομενων συναιτια, και ὁια τις ἡ συννησις και συμμηρυσις.

28. Ψυχαριον ει βαςαζον νεκρον, ως Επικτητος ελεγεν.

29. Ουδεν εςι κακον τοις εν μεταβολη γινομενοις· ὡς ουδε αγαθον, εκ μεταβολης ὑφιςαμενοις.

30. Ποταμος τις εκ των γινομενων και ρευμα βιαιον ὁ αιων. Αμα τε γαρ ωφθη ἑκαςον και παρενηνεκται· και αλλο [5](κατα)φερεται, το (δ' αν) (παρ)ενεχθησεται. Παν το συμβαινον ουτω συνηθες και γνωριμον, ως το ροδον εν τω εαρι, και ὁπωρα εν τω θερει. Τοιουτον γαρ και νοσος, και θανατος, και βλασφημια, και επιβουλη, και ὁσα τους μωρους ευφραινει η λυπει. Τα ἑξης αυτοις προηγησαμενοις οικειως επιγινεται. Ου γαρ ὁιον καταριθμησις τις εςιν (απη-

---

Vulgata. [1] Desideratur ὡς = æstimatione, non re verâ, prudentes.—[2] μοριον.—[3] τοιουτον forsan απροπτωτον.—[4] Hæc, perplexa hactenus, ad normam redegi.—[5] Præpo. pro sensu restituo.

ϱτημενων) και μονον το κατηναγκασμενον εχουσα, αλλα συναφεια ευλογος. Και ὡσπερ συντετακται συνηρμοσμενως τα οντα, ουτω τα γινομενα ου διαδοχην ψιλην, αλλα θαυμαςην τινα οικειοτητα εμφαινει.

31. *Αει* τον Ηρακλειτειον μεμνησθαι. Οτι γης θανατος, ὑδως γενεσθαι· και ὑδατος θανατος, αερα γενεσθαι· και αερος, πυρ· και εμπαλιν. Μεμνησθαι δε και του επιλανθανομενου ῃ ἡ ὁδος αγει· και ὁτι ῳ μαλιςα διηνεκως ὁμιλουσι λογῳ, τω τα ὁλα διοικουντι, τουτω διαφερονται· και ὁις καθ' ἑκαςην ἡμεραν εγκυρουσι, ταυτα αυτοις ξενα φαινεται. (Και οτι δει ωσπερ καθευδοντας πονειν και ου ληγειν. Και γαρ τοτε πονουμεν και ου δοκουμεν. Και οτι ου δει ποιειν και λεγειν ως παιδας, τουτ' εςι κατα ψιλον, καθοτι παρειληφαμεν τοκεων.)[1]

32. *Ωσπερ* ει τις σοι Θεων ειπεν, οτι αυριον τεθνηξη, η παντως εις τριτην, ουκ' ετ' αν παρα μεγα εποιου, το εις τριτην μαλλον η αυριον, ειγε μη εσχατως αγεννης ει. (Ποσον) γαρ εςι το μεταξυ; Ουτω και το εις πολλοςον ετος μαλλον η αυριον μηδεν μεγα ειναι νομιζε. Εννοειν συνεχως ποσοι μεν ιατροι αποτεθνηκασι, πολλακις τας οφρυς ὑπερ των αρρωςων συσπασαντες. Ποσοι δε μαθηματικοι, αλλων θανατους ως τι μεγα προειποντες. Ποσοι δε φιλοσοφοι περι θανατου η αθανασιας μυρια διατειναμετοι. Ποσοι δε αριςεις πολλους αποκτειναντες· ποσοι δε τυραννοι εξουσιᾳ ψυχων, μετα δεινου φρυαγματος, ὡς αθανατοι κεχρημενοι. Ποσαι δε πολεις ὁλαι, ἱν' ουτως ειπω, τεθνηκασιν. Ελικη και Πομπηιοι και Ηρακλανον, και αλλαι αναριθμητοι. Επιθι δε και ὁσους οιδας αλλον επ' αλλω. Ο μεν τουτον κηδευσας, ειτα εξεταθη. Ο δε εκεινον. Παντα δε εν βραχει· (Τοιγαρουν)[2] ολα κατιδειν αει τα ανθρωπινα ὡς εφημερα και ευτελη. Και εχθες μεν μυξαριον, αυριον δε ταριχος η τεφρα. Το ακαριαιον ουν τουτο του χρονου κατα φυσιν διελθειν, και ιλεων καταλυσαι. Ως αν ει ελαια πεπειρος γενομενη, επιπτεν, ευφημουσα την ενεγκουσαν (γην), και χαριν ειδυια τω φυσαντι δενδρω.

Vulgata. [1] Distracta hæc Procrusteâ vi et forsan insanabilia, Prometheo quodam inventoris igne egent quo reviviscant. Quod potui præstiti. [redacted] membra in corpus verisimile, si non verum, reconstruxi.—[2] το γαρ.

33. *Ομοιον ειναι τη ακρᾳ, ἡ διηνεκως τα κυματα προσρησσεται. Ἡ δε ἑςηκε, και περι αυτην κοιμιζεται τα φλεγμηναντα του ὑδατος. Ατυχης εγω οτι τουτο μοι συνεβη; Οὔμενουν. Αλλ' ευτυχης εγω, ὁτι τουτου μοι συμβεβηκοτος, αλυπος διατελω, ουτε υπο (του) παροντος θρανομενος, ουτε (το) επιον φοβουμενος. Συμβηναι μεν γαρ το τοιουτο παντι εδυνατο. Αλυπος δε ου πας επι τουτω αν διετελεσεν. Δια τι ουν εκεινο μαλλον ατυχημα, η τουτο ευτυχημα; Λεγεις δε ὁλως ατυχημα ανθρωπου, ὁ ουκ εςιν αποτευγμα της φυσεως του ανθρωπου; Αποτευγμα δε της φυσεως του ανθρωπου ειναι σοι δοκει, ὁ μη παρα το βουλημα της φυσεως αυτου εςι; Τι ουν το βουλημα (; Η μη)*[1] *μεμαθηκας; (Μετιθι)*[2] *ουν. Μητι το συμβεβηκος τουτο κωλυει σε δικαιον ειναι; Μεγαλοψυχον; σωφρονα; εμφρονα; απροπτωτον; αδιαψευςον; αιδημονα; ελευθερον; τ' αλλα, α,*[a] *συμπαροντων, ἡ φυσις ἡ του ανθρωπου απεχει τα ιδια; Μεμνησο λοιπον επι παντος του εις λυπην (σοι)*[3] *προηγουμενου, τουτω χρησθαι τω δογματι· ουκ οτι τουτο ατυχημα, αλλα το φερειν αυτο γενναιως, ευτυχημα.*

34. *Ιδιωτικον μεν, ὁμως δε ανυτικον βοηθημα προς θανατον καταφρονησιν, ἡ αναπολησις των γλισχρως ενδιατριψαντων τω ζην. Τι ουν αυτοις πλεον, η τοις αωροις; Παντως που ποτε κεινται, Καδικιανος, Φαβιος, Ιουλιανος, Λεπιδος, η ει τις τοιουτος; Οι πολλους εξηνεγκαν, ειτα εξενεχθησαν. (Συνελοντι)*[4] *μικρον εςι το διαςημα, και τουτο δι' ὁσων, και μεθ' ὁιων εξαντλουμενον, και εν ὁιω σωματιω. (Χρη)*[5] *ουν ως (παρεγγυημα).*[6] *Βλεπε γαρ ὁπισω το αχανες του αιωνος, και το προσω αλλο απειρον. Εν δη τουτω τι διαφερει ὁ τριημερος του τριγερηνιου.*

35. *Επι (της συντομου)*[7] *αει τρεχε. Συντομος δε ἡ κατα φυσιν· ὡςε κατα το ὑγιεςατον παν λεγειν και πρασσειν. Απαλλασσει γαρ ἡ τοιαυτη προθεσις κοπων και (τερατειας)*[8] *και πασης (καινομανιας)*[9] *και κομψειας.*

Vulgata. [1] *βουλημα μεμαθηκας·* vide pos. 1.—[2] *Μητι ουν το σ.*—[3] *σε.*—[4] *ὁλον.*—[5] *Μη.*—[6] *πραγμα.*—[7] *την συ.*—[8] *ςρατειας.* —[9] *οικονομιας·* v. pos. 4.

[a] Gatak. legit *ὡν*—sed elegantior ista *ασυνταξις*.

ΒΙΒΛΙΟΝ Ε.

1. *Ορθρον οταν δυσοκνως εξεγειρη, προχειρον εςω οτι επι ανθρωπου εργον εγειρομαι. Ετι ουν δυσκολαινω ει πορευομαι επι το ποιειν, ων ενεκεν γεγονα (; Επει τινων)*[1] *χαριν προηγμαι εις τον Κοσμον; Η επι τουτο κατεσκευασμαι, ινα κατακειμενος τοις ςρωματιοις εμαυτον θαλπω; Αλλα τουτο ἡδιον. Προς το ἡδεσθαι ουν γεγονας (όλως δη;)*[2] *ου προς ποιειν; Η προς (τι) ενεργειαν; Ου βλεπεις τα φυταρια, τα ςρουθαρια, τους μυρμηκας, τας αραχνας, τας μελισσας, τον καθ' άυτας συγκοσμουσας κοσμον; Συ ου θελεις τα ανθρωπικα ποιειν; Ου τρεχεις επι το κατα την σην φυσιν; Αλλα δει και αναπαυεσθαι· Δει· Εδωκε και τουτου μετρα η Φυσις. Εδωκε μεντοι καὶ του εσθιειν, και πινειν. (Κἀκει)*[3] *όμως συ, ὑπερ τα μετρα, ὑπερ τα αρκουντα προχωρεις. Εν ταις πραξεσι δε ουκ ετι· αλλα εντος του δυνατου· ου γαρ φιλεις σεαυτον· επει τοι και την φυσιν αν σου, και το βουλημα ταυτης εφιλεις. Αλλοι (δη) τας τεχνας έαυτων φιλουντες, συγκατατηκονται τοις κατ' αυτας εργοις, αλουτοι και ασιτοι. Συ την φυσιν σεαυτου ελασσον τιμᾶς, η ὁ τορνευτης την τορνευτικην, η ὁ ορχηςης την ορχηςικην, η ὁ φιλαργυρος το αργυριον, η ὁ κενοδοξος το δοξαριον; Και ὁυτοι, όταν προσπασθωσιν, ουτε φαγειν ουτε κοιμηθηναι θελουσι μαλλον, η ταυτα συναυξειν προς ἁ φερονται. Σοι δε άι κοινωνικαι πραξεις ευτελεςεραι φαινονται, και ἡσσονος σπουδης αξιαι;*

2. *Ως ευκολον απωσασθαι και απαλειψαι πασαν φαντασιαν οχληραν η ανοικειον, και ευθυς εν παση γαληνη ειναι. Αξιον έαυτον κρινε παντος λογου και εργου, του κατα φυσιν, και μη σε παρειπατω ἡ επακολουθουσα τινων μεμψις (αλογος).*[4] *Αλλ' ει καλον πεπραχθαι η ειρησθαι, μη σεαυτον απαξιου. Εκεινοι μεν γαρ ιδιον ἡγεμονικον εχουσι, και ιδιᾳ ὁρμη χρωνται. Α συ μη περιβλεπου, αλλ' ευθειαν περαινε, ακολουθων τη φυσει τῃ ιδιᾳ και τῃ κοινῃ. Μια δε αμφοτερων τουτων ἡ ὁδος. Πορευομαι δια των κατα φυσιν, μεχρι πεσων αναπαυσομαι· εναποπνευσας*

Vulgata. [1] *και ων χ·* mera iteratio.—[2] *ολως δε ου.* per puncta je: reconcinnavi.—[3] *και.*—[4] *η ψογος.*

μεν τουτω, εξ όν καθ' ἡμεραν αναπνεω· πεσων δε επι τουτω, εξ όν και το σπερματιον ὁ πατηρ μου συνελεξε, και το ἁιματιον ἡ μητηρ, και το γαλακτιον ἡ τροφος· εξ όν καθ' ἡμεραν τοσουτοις ετεσι βοσκομαι, και αρδενομαι· ὁ φερει με πατουντα, και εις τοσαυτα αποχρωμενον αυτω.

3. *Δριμυτητα σου ουκ εχουσι θαυμασαι. Εςω· αλλ' ἑτερα πολλα, εφ' ών ουκ εχεις ειπειν, ου γαρ πεφυκα. Εκεινα ουν παρεχου, άπερ όλα εςι επι σοι, το ακιβδηλον, το σεμνον, το φερεπονον, το αφιληδονον, το αμεμψιμοιρον, το ολιγοδεες, το ευμενες, το ελευθεριον, το απεριςσον, το αφλυαρον, το μεγαλειον. Ουκ αισθανη, ποσα ηδη παρεχεσθαι δυναμενος, εφ' ών ουδεμια αφυΐας και ανεπιτηδειοτητος προφασις, όμως ετι (εκκακουμενος)[1] μενεις ἑκων; Η και γογγυζειν, και γλισχρυεσθαι, και κολακευειν, και (του σωματιου καθηττασθαι),[2] και αρεσκευεσθαι, και περπερευεσθαι,[a] και τοσαυτα ριπταζεσθαι τῃ ψυχῃ δια το αφυως κατεσκευασθαι αναγκαζῃ; Ου, μα τους Θεους, αλλα τουτων μεν παλαι απηλλαχθαι εδυνασο· μονον δ' (αναδυῇ)[3] αρα ὡς βραδυτερος και δυσπαρακολουθητοτερος καταγινωσκεσθαι· και τουτο δη ασκητεον, μη παρενθυμουμενω, μηδε εμφιληδονουντι τη νοθειᾳ.*

4. *Ο μεν τις εςιν, όταν τι δεξιον περι τινα πραξῃ, προχειρος και λογισασθαι αυτῳ την χαριν. Ο δε προς τουτο μεν ου προχειρος, (ἁπλως)[4] μεν τοι παρ' ἑαυτω, ὡς περι χρεωςου διανοειται, και οιδεν ὁ πεποιηκεν. Ο δε τις τροπον τινα ουδε οιδεν· αλλα ὁμοιος εςιν αμπελω βοτρυν ενεγκουσῃ, και μηδεν αλλο προσεπιζητουσῃ, μετα το άπαξ τον ιδιον καρπον ενηνοχεναι. Ιππος δραμων, κυων ιχνευσας, μελισσα μελι ποιησασα, ανθρωπος δ' ευ ποιησας, ουκ επιβοᾶται· αλλα μεταβαινει εφ' ἑτερον, ὡς αμπελος επι το παλιν εν τῃ ὡρᾳ την βοτρυν ενεγκειν. Εν τουτοις ουν δει ειναι, τοις τροπον τινα απαρακολουθητως (το ες ἑαυτα αυτοποιουσι).[5] Ναι· αλλ' αυτο τουτο δει παρακαλουθειν, ιδιον γαρ (φυσει)[6] του κοινωνικου, το αισθανεσθαι οτι κοινωνικως ενεργει· και, νη Δια, βουλεσθαι και τον*

Vulgata. [1] *κατω·* pos. 1.—[2] *το σ. καταιτιασθαι.*—[3] *ει αρα.*—[4] *αλλως.*—[5] *αυτο.*—[6] *φησι.*

[a] *περπερ·* de hâc voce multi multifariam. Ego ad purpuram refero, in quâ quis insolens superbit, ac imperatorem simulat.

κοινωνον αισθεσθαι. Αληθες μεν εςι ὁ λεγεις· το (δ' ουν)[1] λεγομενον[a] (αν) παρεκδεχη, δια τουτο εση ἑις εκεινων, ὡν προτερον επεμνησθην· και γαρ εκεινοι, λογικη τινι πιθανοτητι παραγονται. Εαν δε θελησης συνειναι τι ποτε εςι το λεγομενον· μη φοβου, μη παρα τουτο παραλιπης τι εργον κοινωνικον.

5. Ευχη Αθηναιων· Ὑσον, Ὑσον, ω' φιλε Ζευ, κατα της αρουρας της Αθηναιων, και των (πολεμιων).[2] Ητοι ου δει ευχεσθαι, η ουτως ἁπλως και ελευθερως.

6. Οποιον εςι το λεγομενον, ὁτι συνεταξεν ὁ Ασκληπιος τουτῳ ἱππασιαν, η ψυχρολουσιαν, η ανυποδησιαν· τοιουτον εςι και το, συνεταξε τουτω ἡ των ὁλων φυσις, νοσον, η πηρωσιν, η αποβολην, η αλλο τι των τοιουτων· και γαρ εκει το συνεταξεν (ιατρικον)[3] τι σημαινει. Εταξε τουτο προς τουτον, ὡς καταλληλον εις ὑγειαν. Και ενταυθα το συμβαινον ἑκαςω τετακται πως προς (αυτον, ὡς)[4] καταλληλον εις την ειμαρμενην. Ουτω γαρ και συμβαινειν αυτα ἡμιν λεγομεν, ὡς και τους τετραγωνους λιθους εν τοις τειχεσιν η ταις Πυραμισι συμβαινειν ὁι τεχνιται λεγουσι, συναρμοζοντας αλληλοις τη ποια συνθεσει· (συνολων)[5] γαρ ἁρμονια εςι μια. Και ὡσπερ εκ παντων των σωματων ὁ κοσμος τοιουτον σωμα, ουτως εκ παντων των αιτιων ἡ Ειμαρμενη τοιαυτη Αιτια, συμπληρουται. Νοουσι δε ὁ λεγω και το τελεον ιδιωται· φασι γαρ, τουτο εφερεν αυτω· ουκοῦν (ταυτα, το)[6] τουτῳ εφερετο· και τουτω συνεταττετο. Δεχωμεθα ουν αυτα ὡς εκεινα ἁ Ασκληπιος συντασσει. Πολλα γουν και εν εκεινοις εςι τραχεα, αλλ' ασπαζομεθα τη ελπιδι της ὑγειας. Τοιουτον (ουν) σοι δοκειτω (ἡ) αινυσις και συντελεια των τη κοινη Φυσει δοκουντων, ὁιον ἡ ση ὑγεια. Και ουτως ασπαζου παν το γινομενον, κἀν απηνεςερον δοκῇ, δια το εκει αγειν, επι την

Vulgata. [1] νυν.—[2] πεδιων· ineptissimè; sed πολεμ. divina vox, quæ Hieronimi dictum confirmat, "Stoicorum doctrina plerumque cum christianâ concordat."—[3] τοιουτον.—[4] αυτο.—[5] ὁλως.—[6] τουτο· quod aciè et puncto eget. Stoicum igitur non est.

[a] λεγομ. Diversa hic quoque interpretes. Mihi λεγομ. significat Rationis monitum, monita naturæ subordinantis sibi. Ita pugnum hunc Stoicum in palmam explanabis.

του κοσμου ὑγιειαν, και την του Διος ευοδιαν και ευπραγιαν. Ου γαρ αν τουτο τι εφερεν, ει μη τῳ ολῳ συνεφερεν. Ουδε γαρ η (τευχουσα)[1] *Φυσις φερει τι ὁ μη τω διοικουμενω ὑπ' αυτης καταλληλον εςι. Ουκοῦν κατα δυο λογους ςεργειν χρη το συμβαινον σοι, καθ' ἑνα μεν, ὁτι σοι εγινετο, και σοι συνεταττετο, και προς σε πως ειχεν ανωθεν εκ των πρεσβυτατων αιτιων συγκλωθομενον. Καθ' ἑτερον δε, ὁτι τω το ὁλον διοικουντι, της ευοδιας και συντελειας, και, νη Δια, της συμμονης αὐτης, αιτιον εςι. Πηρουται γαρ το ὁλοκληρον, εαν και ὁτιουν διακοψης της συναφειας και συνεχειας, ωσπερ των μοριων, ουτω (δη) και των αιτιων. Διακοπτεις δε ὁσον επι σοι, ὁταν δυσαρεςῇς, και τροπον τινα (ανειρῇς).*[2]

7. *Μη σικχαινειν, μηδε απαυδᾶν, μηδε αποδυσπετειν, ει μη καταπυκνουται*[a] *σοι το απο δογματων ορθων ἑκαςα πρασσειν· αλλα εκκρουσθεντα, παλιν επανιεναι, και ασμενιζειν (ει σοι)*[3] *τα πλειω ανθρωπικωτερα. Και φιλειν (το αιτιον)*[4] *εφ' ὁ επανερχῃ. Και μη ὡς προς παιδαγωγον την Φιλοσοφιαν επανιεναι· αλλ' ὡς ὁι οφθαλμιωντες προς το σπογγαριον και το ωον· ὡς (ὁ υπουλος)*[5] *προς καταπλασμα, ως (ο πυρεσσων) προς καταιονησιν. Ουτω γαρ (ουδενι)*[6] *επιδειξεις το πειθαρχειν τω λογω, αλλα προσαναπαυσῃ αυτῳ. Μεμνησο δε οτι Φιλοσοφια μονα θελει ἁ ἡ φυσις σου θελει· συ (δ' ει)*[7] *αλλο ηθελες, ου κατα φυσιν. Τι γαρ τουτων προσηνεςερον; Η γαρ ἡδονη ουχι δια τουτο σφαλλει; Αλλα θεασαι, ει προσηνεςερον μεγαλοψυχια, ελευθερια, ἁπλοτης,* [8]*(συγ)γνωμοσυνη, ὁσιοτης. (Αυταρκουσης)*[9] *γαρ φρονησεως τι προσηνεςερον; Οταν το απταιςον και ευρουν εν πασι της παρακολουθητικης και επιςημονικης δυναμεως ενθυμηθῃς.*

8. *Τα μεν πραγματα εν τοιαυτῃ τροπον τινα εγκαλυψει εςιν, ὡςε φιλοσοφοις ουκ ολιγοις ουδε τοις τυχουσιν εδοξε παντaπασιν ακαταληπτα ειναι. Πλην αυτοις γε τοις Στωικοις δυσκαταληπτα δοκει· (ει) και πασα η ἡμε-*

Vulgata. [1] *τυχουσα*· quod repugnat sententiæ, quæ causam, non casum, postulat.—[2] *αναιρῇς*.—[3] *εις*.—[4] *τουτο*· sed *τουτο* non *φιλητεον*· lege *το αιτ*· = causa quæ ordinat *υλην*.—[5] *αλλος*.—[6] *ουδεν*.—[7] *δε*.—[8] *ευγν*.—[9] *αυτης*.

[a] Malim *καταπηγνυται*.

τερα συγκαταθεσις μεταπτωτη. Που γαρ ὁ αμεταπτωτος; Μετιθι τοινυν επ᾽ αυτα τα ὑποκειμενα· ὡς ολιγοχρονια, και ευτελῆ, και δυναμενα εν κτησει κιναιδου, η πορνης, η ληςου ειναι. Μετα τουτο επιθι επι τα των συμβιουντων ηθη, ὡν μολις εςι και του χαριεςατου ανεχεσθαι, ἱνα μη λεγω ὁτι και ἑαυτον τις μολις ὑπομενει. Εν τοιουτω ουν ζοφω, και ρυπω, και τοσαυτῃ ρυσει της τε ουσιας, και του χρονου, και της κινησεως, και των κινουμενων, τι ποτ᾽ εςι το εκτιμηθηναι, η το ὁλως σπουδασθηναι δυναμενον, ουδ᾽ επινοω.[a] Τουναντιον γαρ (·Δει δε) παραμυθουμενον ἑαυτον περιμενειν την φυσικην λυσιν, και μη ασχαλλειν τῃ διατριβῃ, αλλα τουτοις μονοις προσαναπαυεσθαι. Ενι μεν, τω ὁτι ουδεν συμβησεται μοι, ὁ ουχι κατα την των ὁλων φυσιν εςιν· ἑτερω δε, ὁτι εξεςι μοι μηδεν πραττειν παρα τον εμον θεον και Δαιμονα. Ουδεις γαρ ὁ αναγκασων τουτον παραβηναι.

9. Προς τι ποτε αρα νυν χρωμαι τῃ εμαυτου ψυχῃ; Παρ᾽ εκαςον τουτο επανερωτᾶν ἑαυτον, και εξεταζειν. Τί μοι εςι νυν εν τουτω τω μοριω, ὁ δη ἡγεμονικον καλουσι; Και τινος αρα νυν εχω ψυχην; μητι παιδιου, μητι μειρακιου, μητι γυναικαριου, μητι τυραννου, μητι κτηνους, μητι θηριου;

10. (Ουκ εχειν ὁποι χεση).[1] Οποια τινα εςι τα τοις πολλοις δοκουντα αγαθα, και εντευθεν λαβοις. Ει γαρ τις επινοησειεν ὑπαρχοντα τινα ὡς αληθως αγαθα, ὁιον φρονησιν, σωφροσυνην, δικαιοσυνην, ανδρειαν, ουκ αν ταυτα προεπινοησας, ετι ακουσαι δυνηθειη τι (τοιουτο). Τω αγαθω γαρ (αφαρμοσει.) Τα δε γε τοις πολλοις φαινομενα αγαθα προεπινοησας τις, εξακουσεται και ραδιως δεξεται ὡς οικειως επιλεγομενον το υπο του κωμικου.[2] Ουτω και ὁι πολλοι φανταζονται την διαφοραν. Ου γαρ αν (ταυτο τοτε μεν ουν)[3] προσεκοπτεν και απηξιουτο, (τοτε δε)[4] επι του πλουτου και των προς τρυφην η δοξαν ευκληρηματων παρεδεχομεθα, ὡς ἱκνουμενως και αςειως ειρημενον. Προι-

---

Vulgata. [1] Omittuntur—sed postulantur istic posita, quo sequentia quis intelligat.—[2] ειρημενον redundat.—[3] τουτο γενου.—[4] το δε· manca miserè phrasis—ut supra, sana fit ac symmetrica.

[a] Malim ουδ᾽ επ. το παν· αναξιον γαρ.

θι ουν και ερωτα, ει τιμητεον και αγαθα ὑποληπτεον τα τοιουτα, ων προεπινοηθεντων οικειως αν επιφεροιτο, το του κεκτημενον αυτα, υπο της ευποριας, ουκ εχειν οποι χεση.

11. Εξ αιτιωδους και ὑλικου συνεςηκα. Ουδετερον δε τουτων εις το μη αν φθαρησεται· ὡσπερ ουδε εκ του μη οντος ὑπεςη. Ουκοῦν καταταχθησεται παν μερος εμου, κατα μεταβολην, εις μερος τι του κοσμου· και παλιν εκεινο εις ἑτερον μερος του κοσμου μεταβαλεῖ· και (ὡδε) εις απειρον. Κατα τοιαυτην δε μεταβολην κἀγω ὑπεςην, και ὁι εμε γεννησαντες, και επανιοντι εις αλλο απειρον. Ουδεν γαρ κωλυει ουτως (ὑφεςαναι),[1] κἀν κατα περιοδους πεπερασμενας ὁ κοσμος διοικηται.

12. Ο λογος και ἡ λογικη τεχνη δυναμεις εισιν ἑαυταις αρκουμεναι, και τοις καθ' εαυτας εργοις. Ορμωνται μεν ουν απο της οικειας αρχης· ὁδευουσι δε εις το προκειμενον τελος· καθ' ὁ κατορθωσεις ἁι τοιαυται πραξεις ονομαζονται, την ορθοτητα της ὁδου σημαινουσαι. Ουδεν τουτων ρητεον ανθρωπου, ἁ ανθρωπω καθ' ὁ ανθρωπος εςιν ουκ επιβαλλει. Ουκ εςιν απαιτηματα ανθρωπου, ουδε επαγγελλεται αυτα ἡ του ανθρωπου φυσις· ουδε τελειοτητες εισι της αυτου φυσεως. Ου τοινυν ουδε το τελος εςιν εν αυτοις τω ανθρωπω κειμενον· ουδε το συμπληρωτικον του τελους το αγαθον. Ετι, ει τι τουτων ην επιβαλλον τω ανθρωπω, ουκ αν το ὑπερφρονειν αυτων και κατεξανιςασθαι, επιβαλλον ην· ουδε επαινετος ην ὁ απροσδεη τουτων εαυτον παρεχομενος. Ουδε αν ὁ ελαττωτικος ἑαυτου εν τινι τουτων αγαθος ην, ειπερ ταυτα ην αγαθα. Νυν δ' οσωπερ πλειω τις αφαιρων ἑαυτου τουτων, η τοιουτων ἑτερων, η και αφαιρουμενα τινα τουτων ανεχηται, τοσωδε μαλλον αγαθος εςι.

13. Οια αν πολλακις φαντασθης, τοιαυτη σοι εςαι ἡ διανοια. Βαπτεται γαρ ὑπο φαντασιων ἡ ψυχη. Βαπτε ουν αυτην τη συνεχεια των τοιουτων φαντασιων. Οιον, ὁτι ὁπου ζην εςιν, εκει και ευ ζην· εν Αυλη δε ζην εςιν· εςιν αρα ευ ζην εν Αυλη. Και παλιν, ὁτι ὁυπερ ἑνεκεν ἑκαςον κατεσκευαςαι, προς τουτο κατεσκευαςαι, και προς τουτο φερεται. Προς ὁ φερεται δε, εν τουτω το τελος αυτου· ὁπου δε το τελος, εκει και το συμφερον, και τ' αγαθον ἑκαςου. Το αρα αγαθον του λογικου ζωου, κοινωνια· οτι

Vulgata. [1] φαναι.

γαρ προς κοινωνιαν γεγοναμεν, παλαι δεδεικται· η ουκ ην εναργες, ότι τα χειρω των κρειττονων ενεκεν· τα δε κρειττω αλληλων; κρειττω δε των μεν αψυχων τα εμψυχα· των δε εμψυχων, τα λογικα.

14. *Το τα αδυνατα διωκειν, μανικον. Αδυνατον δε, το τους φαυλους μη τοιαυτα τινα ποιειν. Ουδεν ουδενι συμβαινει ὁ ουχι (εκρινετο).*[1] *Πεφυκε φερειν αυτω. Αλλω τα αυτα συμβαινει· και ητοι αγνοων ότι συμβεβηκεν, η επιδεικνυμενος μεγαλαφροσυνην, ευςαθεῖ, και ακακωτος μενει. Δεινον ουν αγνοιαν και αρεσκειαν ισχυροτερας ειναι φρονησεως.*

15. *Τα πραγματα αυτα ουδ' όπωςιουν ψυχης απτεται· ουδε εχει εισοδον προς ψυχην· ουδε τρεψαι, ουδε κινησαι ψυχην δυναται. Τρεπει δε και κινει αυτη ἑαυτην μονη· και όιων αν κρίματων καταξιωση ἑαυτην, τοιαυτα ἑαυτη ποιει τα προσυφεςωτα.*

16. *Καθ'* (*ἑταιρικον*)[2] *μεν λογον ἡμιν εςιν οικειοτατον ανθρωπος, καθ' όσον ευ ποιητεον αυτους και ανεκτεον. Καθ' όσον δε ενιςανται τινες εις τα οικεια εργα, ἑν τι των αδιαφορων μοι γινεται ὁ ανθρωπος· ουκ ἡσσον η ἡλιος, η ανεμος, η θηριον. Υπο τουτων* (*δη*) *ενεργεια μεν τις εμποδισθειη αν· ὁρμης δε και διαθεσεως ου γινεται εμποδια δια την ὑπεξαιρεσιν και την περιτροπην· περιτρεπει γαρ και μεθιςησι παν το της ενεργειας κωλυμα ἡ διανοια εις το προηγουμενον. Και προ εργου γινεται το του εργου τουτου εφεκτικον, και προ ὁδου το της ὁδου ταυτης ενςατικον.*

17. *Των εν τω κοσμω το κρατιςον τιμα. Εςι δε τουτο το πασι χρωμενον, και παντα διεπον. Ομοιως και των εν σοι το κρατιςον τιμα. Εςι δε τουτο το εκεινω ὁμογενες. Και γαρ επι σου, το τοις αλλοις χρωμενον τουτο εςι· και ὁ σος βιος ὑπο τουτου διοικειται.*

18. *Ο τη πολει ουκ εςι βλαβερον, ουδε τον πολιτην βλαπτει. Επι πασης της του βεβλαφθαι φαντασιας, τουτον επαγε τον κανονα. Ει η πολις ὑπο τουτου μη βλαπτεται, ουδε εγω βεβλαμμαι. Ει δε ἡ πολις βλαπτεται,* (*εμοι*) *ουκ οργιςεον. Τω βλαπτοντι την πολιν* (*εγκαλειν δει*). *Τί το παρορωμενον* (*εμοι ;*)[3]

Vulgata. [1] *εκεινο·* forsan *εκ κοινου*.—[2] *ἑτερον·* ineptè.—[3] Hæc omittit; quæ pro posito 1, restitui; feliciter spero; fluenter certè.

19. *Πολλακις ενθυμου το ταχος της παραφορας καὶ ὑπεξαγωγης των οντων τε και γινομενων. Η τε γαρ ουσια, ὁιον ποταμος, εν διηνεκει ρυσει· και ἁι ενεργειαι εν συνεχεσι μεταβολαις. Και τα αιτια εν μυριαις τροπαις· και σχεδον ουδεν ἑςως. Και το παρεγγυς τοδε απειρον, τουτε παρωχηκοτος και μελλοντος αχανες, ᾡ παντα εναφανιζεται. Πως ουν ου μωρος, ὁ εν τουτοις φυσωμενος, η σπωμενος, η σχετλιαζων, ὡς εν (εκτενει)*[1] *χρονῳ, και επι (μακρον ενοχλησοντι);*[2] *Μεμνησο της συμπασης ουσιας, ἡς ολιγιςον μετεχεις· και του συμπαντος αιωνος, ου βραχυ και ακαριαιον σοι διαςημα αφωρισαι· και της ειμαρμενης, ἡς ποςον (σοι)*[3] *μερος.*

20. *Αλλος ἁμαρτανει τι εις εμε; Οψεται. Ιδιαν εχει διαθεσιν, ιδιαν ενεργειαν. Εγω νυν εχω ὁ με θελει νυν εχειν ἡ κοινη φυσις. Και πρασσω ὁ με νυν θελει πρασσειν ἡ εμη φυσις.*

21. *Το ἡγεμονικον και κυριευον της ψυχης σου μερος ατρεπτον εςω ὑπο της εν τη σαρκι λειας η τραχειας κινησεως· και μη συγκρινεσθω, αλλα περιγραφετω (ἑαυτο) και περιοριζετω τας πεισεις εκεινας εν τοις μοριοις. Οταν δε αναδιδωνται κατα την (σφετεραν)*[4] *συμπαθειαν εις την διανοιαν, ὡς εν σωματι ἡνωμενῳ, τοτε προς μεν την αισθησιν, φυσικην ουσαν, ου πειρατεον αντιβαινειν. Την δε ὑποληψιν, την ως περι αγαθου η κακου, μη προςιθετω το ηγεμονικον εξ (ἑαυτου).*

22. *Συζην Θεοις. Συζη δε Θεοις ὁ συνεχως δεικνυς αυτοις την ἑαυτου ψυχην αρεσκομενην μεν τοις απονεμομενοις· ποιουσαν δε ὁσα βουλεται ὁ Δαιμων, ὁν ἑκαςῳ προςατην η ἡγεμονα ο Ζευς εδωκεν, αποσπασμα ἑαυτου. Ουτος δε εςιν, ὁ εκαςου νους και λογος.*

23. *Τῳ γρασωνι μη τι οργιζου· μητε τῳ οζοςομῳ. (Το μεν οργιζεσθαι επι σοι, επ' οιησει).*[5] *Τοιουτον ςομα εχει· τοιαυτας μαλας εχει· αναγκη τοιαυτην αποφοραν απο τοιουτων γινεσθαι. Αλλ' ὁ ανθρωπος λογον εχει, φησι, και δυναται συννοειν εφιςανων τι πλημμελει. Ευ (φησι·)*[6] *Γενοιτο. Τοιγαρουν και συ λογον εχεις. Κινη-*

Vulgata. [1] *τινι.*—[2] *μικρον ενοχλησαντι.*—[3] *ει·* incongruè.—[4] *ἑτεραν* aliud poscit.—[5] *οργιζου· τι σοι ποιησει*—quod perperam pro *τι αν ποιη;* Quin et aliter peccat; ideoque, unâ liturâ totum.—[6] *ευ σοι γ.* melius, ut supra.

σον λογικῃ διαθεσει λογικην διαθεσιν. Δειξον, υπομνησον· ει γαρ επαΐει, θεραπευσεις, και ου χρεια οργης. (Ουτε τραγωδος, ουτε πορνη).[1]

24. Ως εξελθων ζην διανοῃ, ουτως ενταυθα ζην εξεςιν. Εαν δε μη επιτρεπωσι, τοτε και του ζην εξιθι. Ουτως μεντοι, ως μηδεν κακον πασχων. (Απαγχομαι·)[2] Καπνος εςι· απερχομαι. (Μη τι αιτια αυτο; Τι ου; Τι αν το πνιγμα)[3] δοκεις; Μεχρι δε με τοιουτον ουδεν εξαγει, μενω ελευθερος, και ουδεις με κωλυσει ποιειν ά θελω. Θελω δε κατα φυσιν του λογικου και κοινωνικου ζωου.

25. Ο του όλου Νους, κοινωνικος. Πεποιηκε γουν τα χειρω των κρειττονων ενεκεν· και τα κρειττω αλληλοις συνηρμοσεν. Ορᾳς πως ὑπεταξε, συνεταξε, και το κατ' αξιαν απενειμεν ἑκαςοις. Και τα κρατιςευοντα εις ὁμονοιαν αλληλων συνηγαγε.

26. Πως προσενηνεξαι μεχρι νυν, Θεοις, γονευσιν, αδελφοις, γυναικι, τεκνοις, διδασκαλοις, τροφευσι, φιλοις, οικειοις, οικεταις. Ει προς παντας σοι μεχρυ νυν (ἱςαται)[4] το—μητε τινα ρεξαι γ' εξαισια, μητε τιν' ειπειν—Αναμιμνησκου δε και δι' ὁιων διεληλυθας, και ὁια ηρκεσας ὑπομειναι· και ὁτι πληρης ηδη σοι (ἡ) ιςορια του βιου, και τελεια ἡ λειτουργια. Και ποσα (ωψαι)[5] καλα, και ποσων μεν ἡδονων και πονων (επειραθης·)[6] ποσα δε ενδοξα (ὑπερειδες·)[7] εις ὁσους δε αγνωμονας ευγνωμων εγενου. (Δια τι; οτι ου)[8] συγχεουσιν (ἁι) ατεχνοι και αμαθεις ψυχαι (την) εντεχνον και επιςημονα; Τις ουν (ἡ) ψυχη εντεχνος και επιςημων; Η ειδυια αρχην και τελος, και τον δια της ουσιας διηκοντα λογον, και δια παντος του αιωνος κατα περιοδους τεταγμενας οικονομουντα το παν.

27. Οσον ουδεπω σποδος, η σκελετος, και ητοι ονομα, η ουδε ονομα· το δ' ονομα, ψοφος και απηχημα· τα δε εν τω βιω πολυτιμητα, κενα, και σαπρα, και (μιαρα)[9] και

Vulgata. [1] Ad sequentia.—[2] και intrusum extrusi.—[3] τι αυτο πραγμα· ab his datis, et huc usque fœdè contortis literis explicatur ac deducitur recto filo ista substituta series, ad normam positi 1.—[4] εςι.—[5] ωπται.—[6] υπερειδες.—[7] παρειδες.—[8] Nova sectio. Δια τι συγχ. Præorupta et ανακαλουθα—Particulæ οτι ου, pro pos. 1, additæ, probum dant pro pravo, immò sanctum sensum.—[9] μικρα· sed id non vitupero. Forsan πικρα.

(κατα)[1] κυνιδια διαδακνομενα, και παιδια φιλονεικα, γελωντα, ειτα ευθυς κλαιοντα. Πιςις δε, και Αιδως, και Δικη, και Αληθεια—προς Ολυμπον, απο χθονος (ευρωδειης)—Τι ουν ετι το ενταυθα κατεχον, ειγε τα μεν αισθητα ευμεταβλητα, και ουκ ἑςωτα. Τα δε αισθητηρια, αμυδρα και ευπαρατυπωτα.[a] Αυτο δε το ψυχαριον αναθυμιασις αφ᾽ ἁιματος. Το (δη)[2] ευδοκιμειν παρα τοιουτοις, κενον. Τι ουν ου περιμενεις ἱλεως την ειτε σβεσιν, ειτε μεταςασιν; Εως δε εκεινης ὁ καιρος εφιςαται, τι αρκει; Τι δ᾽ αλλο, η θεους μεν σεβειν και ευφημειν· ανθρωπους δε ευποιειν· και ανεχεσθαι αυτων και απεχεσθαι; Οσα δε εκτος ὁρων του κρεαδιου, και του πνευματιου, ταυτα μεμνησθαι μητε σα οντα, μητε επι σοι.

28. Δυνασαι αει ευροειν, ειγε και (ευδιαειν·)[3] ειγε και ὁδω ὑπολαμβανειν, και πρασσειν. Δυο ταυτα κοινα, τῃ τε του Θεου, και τῃ του ανθρωπου, και παντος λογικου ζωου ψυχῃ· το μη εμποδιζεσθαι ὑπ᾽ αλλου, και το εν τῃ δικαϊκῃ διαθεσει και πραξει εχειν το αγαθον, και ενταυθα την ορεξιν απολῃγειν.

29. Ει μητε κακια εςι τουτο εμη, μητε (αεργεια)[4] κατα (μαλακιαν)[5] εμην, (τι υπερ αυτου διαφερομαι;) (Μητι) το κοινον βλαπτεται; Τις δε βλαβη του κοινου; Μη ολοσχερως τῃ φαντασιᾳ συναρπαζεσθαι· αλλα βοηθειν μεν κατα δυναμιν και κατ᾽ αξιαν, κἀν εις τα μεσα, (μη σοι)[6] ελαττωνται. Μη μεντοι βλαβην αυτο φανταζεσθαι· κακον γαρ (ηθος). Αλλ᾽ ὡς ὁ γερων απελθων τον του θρεπτου ρομβον (απηχει),[7] μεμνημενος οτι ρομβος· (συ) ουτως ουν και ωδε. Επει (τι τοι τα γυναικαριων)[8] επι των εμβολων (ωνια;) Ανθρωπε, (επιλαβου).[9] Επε-

Vulgata. [1] Omissum conturbat sententiam—quæ per κατα, fit κατα λογον.—[2] δε.—[3] ὁδευειν· stultè a scribâ pro pos. 2.—[4] ενεργια—sed illa a κακια non distinguitur.—[5] κακιαν εμην, μηδε το κ. βλ. τι υπερ α. διαφ; Illa delira ac præpostera; ista quæ habes paullulum mutata ac transposita, textum rectè coordinant, et totum reconstituunt.—[6] Si desunt, deest sententia.—[7] απητει—frustra.—[8] τοι γινη καλων.—[9] Omittit. επιλαβου = emeric; take hold = buy. Sed hæc satis. Etrenim impius fuerim erga lectorem si, eum vulgato, perinde ac si

[a] Tots. απατητα.

λαθου (ουν) τι ταυτα ην. Ναι· αλλα τουτοις περισπουδαςα. Δια τουτ᾽ ουν και συ μωρος γενη; (Εγειρου μην) ποτε.

30. (Οτου)[1] δη ποτε καταλειφθεις (ει φραχθεις εσω εν) ευμοιρος ανθρωπος. Το δε ευμοιρος, αγαθην μοιραν ἑαυτω απονειμας. Αγαθαι δε μοιραι, αγαθαι τροπαι ψυχης, αγαθαι ὁρμαι, αγαθαι πραξεις.

ΒΙΒΛΙΟΝ ς.

1. Η των ὁλων ουσια, ευπειθης, και ευτρεπης. Ο δε ταυτην διοικων λογος ουδεμιαν εν ἑαυτω αιτιαν εχει του κακοποιειν· κακιαν γαρ ουκ εχει, ουδε τι κακως (ποιῆ).[3] Ουδε βλαπτεται τι ὑπ᾽ εκεινου. Παντα (δ᾽ εν)[4] κατ᾽ εκεινον γινεται και περαινεται.

2. Μη διαφερον, ποτερον ριγων η θαλπομενος το πρεπον ποιεις· και ποτερον νυςαζων η ἱκανως ὑπνου εχων· και ποτερον κακως ακουων, η ευφημουμενος· και ποτερον αποθνησκων, η πραττων τι αλλοιον· μια γαρ των βιωτικων πραξεων και ἁυτη εςι, καθ᾽ ἡν αποθνησκομεν. Αρκει ουν και επι ταυτης το παρον ευ θεσθαι.

3. Εσω βλεπε. Μηδενος πραγματος μητε ἡ ιδια ποιοτης, μητε ἡ αξια [5](παραςρεφετω) σε. Παντα τα ὑποκειμενα ταχιςα (μεταβαλεῖ), και ητοι εκθυμιασθησεται, (η συγκριθησεται)[6] ειπερ ἡνωται ἡ ουσια, η σκεδασθησεται.

---

charybdis vertigini, commendaverim. Aditum cavernæ indicare suffecerit. Ego nimirum, corruptissimæ hujusce sectionis problemate absoluto, non ut Archimedes, Deo gratias agens, taurum pro holocausto, sed eas, quibus tam diu ac distractim hæsi, tot super ipsâ comminiscentium paginas, immò tota scrinia, libenter flammæ oblaturus fuero. Quippe talium Vulcanus, quam Minerva, potior vindex.—[1] ὁπου.—[2] Supplendum est aliquod. Ego si malè, expecto.—[3] ποιει· ει pro η depravat auctorem.—[4] δε· hæc item tam exilis additio, mutat, quod malum erat, in ευ = bene, immo optimè.—[5] τρεχετω.—[6] Defuit sensui, ideoque, credo, textui.

4. *Ο διοικων λογος οιδε πως* (*διακρινομενος*)[1] *και τι ποιει, και επι τινος ὑλης.*

5. *Αριϛος τροπος του αμυνεσθαι το μη εξομοιουσθαι. Ενι τερπου, και προσαναπαυου, τω απο πραξεως κοινωνικης μεταβαινειν επι πραξιν κοινωνικην, συν μνημῃ Θεου.* (*Τι*)[2] *το ηγεμονικον εϛι; Το ἑαυτο εγειρον και τρεπον, και ποιουν μεν ἑαυτο ὁιον αν και θελη· Ποιουν δε ἑαυτω φαινεσθαι παν το συμβαινον ὁιον αυτο θελη.*

6. *Κατα την των ὁλων φυσιν ἑκαϛα περαινεται· ου γαρ κατ' αλλην τινα φυσιν, ητοι εξωθεν περιεχουσαν, η εμπεριεχομενην ενδον, η* (*μεταξυ*)[3] *απηρτημενην.*

7. *Ητοι κυκεων, και αντεμπλοκη, και σκεδασμος· η ἑνωσις, και ταξις, και Προνοια. Ει μεν ουν τα προτερα, τι και επιθυμω εικαιω συγκριματι, και φυρμω τοιουτω, ενδιατριβειν; Τι δε μοι και μελει αλλου τινος, η του—ὁπως ποτε αια γενεσθαι—; Τι δε και ταρασσομαι; Ηξει γαρ επ' εμε ὁ σκεδασμος, ὁ τι αν ποιῶ· ει δε θατερα εϛι, σεβω και ευϛαθω, και θαρρω τω διοικουντι.*

8. *Οταν αναγκασθῃς ὑπο των περιεϛηκοτων ὁιονει διαταραχθηναι, ταχεως επανιθι εις ἑαυτον, και μη ὑπερ τα αναγκαια εξιϛασο του ρυθμου· εση γαρ εγκρατεϛερος της ἁρμονιας τω συνεχως εις αυτην επανερχεσθαι. Ει μητρυιαν τε ἁμα ειχες και μητερα, εκεινην τ' αν εθεραπευες, και ὁμως ἡ επανοδος σοι προς την μητερα συνεχης* (*αν*) *εγινετο. Τουτο σοι νυν εϛιν ἡ Αυλη και Φιλοσοφια. Ωδε πολλακις επανιθι, και προσαναπαυου ταυτῃ, δι' ἡν και τα εκει σοι ανεκτα φαινεται, και συ εν αυτοις ανεκτος.*

9. *Οιον δη το φαντασιαν λαμβανειν επι των οψων, και των* (*ὁποιων τινων*)[4] *εδωδιμων· ὁτι νεκρος ὁυτος ιχθυος, ὁυτος δε, νεκρος ορνιθος, η χοιρου. Και παλιν, ὁτι ὁ Φαλερνος χυλαριον εϛι ϛαφυλιου· και ἡ περιπορφυρος, τριχια προβατου, ἁιματιω κογχης δεδευμενα. Και επι των κατα την συνουσιαν· εντεριου παρατριψις, και*

Vulgata. [1] *διακειμενος* absurdè.—[2] Veniam oro commissi, nec tamen temerè, nec, ut spero, alieni. Ut enim in Oratoriâ, ita in Dialecticâ, Socraticam quandam vim habet Interrogatio.—[3] *εξω·* sed istud se iterat—*μεταξυ* = mens, animus. Catullo mens animi; quæ animæ ac sensibili mundo, subjecto ac objectis, intercedit, eaque collineat.—[4] *τοιουτων,*

μετα τινος σπασμου μυξαριου εκκρισις· οιαι δη αυται εισιν αι φαντασιαι καθικνουμεναι αυτων των πραγματων, και διεξιουσαι δι' αυτων· ὡςε ὁρᾶν ἁ τινα ποτ' εςιν· ουτως δει παρ' ὁλον τον βιον ποιειν, και ὁπου (ὑπουλα και αναξιοπιςα)[1] τα πραγματα φανταζεται, απογυμνουν αυτα, και την ευτελειαν αυτων καθορᾶν, και την ἱςοριαν ὑφ ἡ σεμνυνεται περιαιρειν. Δεινος γαρ ὁ Τυφος παραλογιςης· και ὁτε δοκεις μαλιςα περι τα σπουδαια καταγινεσθαι, τοτε μαλιςα καταγοητευει. Ορα γουν ὁ Κρατης, τι περι αυτου του Ξενοκρατους λεγει.

10. Τα πλειςα ὡν ἡ πληθυς θαυμαζει, εις γενικωτατα αναγεται, τα ὑπο ἑξεως η φυσεως συνεχομενα· λιθους, ξυλα, συκας, αμπελους, ελαιας. Τα δε ὑπο των ολιγω μετριωτερων, εις τα ὑπο ψυχης· ὁιον, ποιμνας, αγελας· τα δε ὑπο των ετι χαριεςερων, εις τα ὑπο λογικης ψυχης, ου μεντοι καθολικης, αλλα καθο τεχνικη, η αλλως πως εντρεχης· η κατα (το δαψιλον·)[2] ὁιον, πληθος ανδραποδων κεκτησθαι. Ὁ δε ψυχην λογικην καθολικην και πολιτικην τιμων, ουδεν ετι των αλλων επιςρεφεται. Προ απαντων δε την ἑαυτου ψυχην λογικως και κοινωνικως εχουσαν καὶ κινουμενην διασωζει, και τω ὁμογενει (Νοω)[3] εις τουτο συνεργει.

11. Τα μεν σπευδει γινεσθαι, τα (δ' εκποδων)[4] γεγονεναι. Και του γινομενου δε ηδη τι απεσβη. Ρυσεις και αλλοιωσεις ανανεουσι τον κοσμον διηνεκως, ὡσπερ ἡ του χρονου αδιαλειπτος φορα τον απειρον αιωνα νεον αει παρεχεται. Εν δη τουτω τω ποταμω, τι αν τις τουτων των παραθεοντων εκτιμησειεν, εφ' ὁυ ςηναι ουκ εξεςιν; Ὡσπερ ει τις τι των παραπετομενων ςρουθιων φιλειν αρχοιτο. Το δ' ηδη εξ οφθαλμων απεληλυθεν. Τοιουτο δη τι και αυτη ἡ ζωη ἑκαςον, ὁιον ἡ αφ' ἁιματος αναθυμιασις, και ἡ εκ του αερος αναπνευσις· ὁποιον γαρ εςι το ἁπαξ ἑλκυσαι τον αερα και αποδουναι, ὁπερ παρεκαςον

Vulgata. [1] λιαν αξιοπιςοτατα. Hic locus palam se proclamat, ut leprosus in Levitico, corruptum. Sed critici ut cœci, ita et surdi sunt. Sanum ut supra, idque subito ac simpliciter, procurauimus.—[2] ψιλον· unde critici aditum ad signif., prout "lupus ad caulas" Virgilii, mille modis, sed frustra, tentant.—[3] Omittitur cum νοω via, veritas, vita, mens, sententiæ.—[4] δε σπευδει.

ποιουμεν· τοιουτον εϛι και το την πασαν αναπνευϛικην δυναμιν, ἡν χθες και πρωνην αποτεχθεις εκτησω, αποδουναι εκει, ὁθεν το πρωτον εσπασας.

12. (*Το*)[1] *τιμιον, ουτε το* (*διοπονεισθαι*),[2] *ὡς τα φυτα· ουτε το διαπνειν, ως τα βοσκηματα και τα θηρια· ουτε το τυπουσθαι κατα φαντασιαν· ουτε το νευροσπαϛεισθαι καθ' ὁρμην· ουτε το συναγελαζεσθαι· ουτε το τρεφεσθαι· τουτο γαρ* (*τιμιον ομοιως*)[3] *τω αποκρινειν τα περιττωματα της τροφης. Τι ουν τιμιον; το κροτεισθαι; ουχι. Ουκ ουν ουδε το ὑπο γλωσσων κροτεισθαι· ἁι γαρ παρα των πολλων ευφημιαι, κροτος γλωσσων. Αφηκας ουν και το δοξαριον.*[a] *Τι καταλειπεται τιμιον; Δοκω μεν το κατα την ιδιαν κατασκευην κινεισθαι και ισχεσθαι. Εφ' ὁ και ἁι επιμελειαι αγουσι και ἁι τεχναι. Ἡ τε γαρ τεχνη πασα τουτου ϛοχαζεται, ἱνα το κατασκευασθεν επιτηδειως εχη προς το εργον προς ὁ κατεσκευαϛαι. Ὁ τε φυτουργος ὁ επιμελουμενος της αμπελου, και ὁ πωλοδαμνης, και ὁ του κυνος επιμελουμενος, τουτο ζητει. Ἁι δε παιδαγωγιαι, ἁι διδασκαλιαι, επι* (*τοδι*)[4] *σπευδουσιν. Ὡδε ουν το τιμιον. Και τουτο μεν αν ευ εχη, ουδεν των αλλων περι* (*ουδενος*)[5] *ποιησῃ σεαυτω.*[b] *Ου παυσῃ και αλλα πολλα τιμῶν; ουτ' ουν ελευθερος εσῃ, ουτε αυταρκης, ουτε απαθης. Αναγκη γαρ φθονειν, ζηλοτυπειν, ὑφορασθαι τους αφελεσθαι εκεινα δυναμενους· επιβουλευειν τοις εχουσι το τιμωμενον ὑπο σου. Ὁλως πεφυρθαι αναγκη τον εκεινων τινος ενδεη. Προσετι δε πολλα και τοις Θεοις μεμφεσθαι. Ἡ δε της ιδιας διανοιας αιδως και τιμη σεαυτω τε αρεϛον σε ποιησει, και τοις κοινωνικοις ευαρμοϛον, και τοις Θεοις συμφωνον· τουτεϛιν, επαινουντα ὁσα εκεινοι διανεμουσι και διατεταχασιν.*

13. *Ανω, κατω, κυκλω* (*ἁι*) *φοραι των ϛοιχειων. Η δε της αρετης κινησις εν ουδεμια τουτων, αλλ'* (*ανα*)[6] *θειοτερον τι* (*αιτιον*), *και ὁδω δυσεπινοητω προιουσα ενοδει.*

Vulgata. [1] *Το*, intensivum, gravitatem, vim, aciem addit. —[2] *διαπνεισθαι*· sed id infra, de bestiis; hoc de plantis.— [3] *ὁμοιον*—quod falsum, idemque futile.—[4] *τι σπ;*—[5] Omisso, hæret sensus:—addito, expeditur.—[6] Per *αιτιον* quod v. deest, et divinæ dignitati, et sensui consulitur.

[a] Mallem *Αρα ουν τι κατ.* [b] Mallem *Συ δ' ου.*

14. *Οιον εϛιν ὁ ποιουσιν. Τους μεν επι τον αυτον χρονον, και μεθ' ἑαυτων ζωντας ανθρωπους ευφημειν ου θελουσιν. Αυτοι δε υπο των μεταγενεϛερων ευφημηθηναι, ὁυς ουτε ειδον ποτε, ουτε οψονται, περι πολλου ποιουνται. Τουτο δε εγγυς εϛι τω λυπηθηναι αν, ὁτι ουχι και ὁι προγενεϛεροι περι σου λογους ευφημους εποιουντο.*

15. *Μη, ει τι αυτω σοι δυσκαταπονητον, τουτο ανθρωπω αδυνατον ὑπολαμβανειν. Αλλ' ει τι ανθρωπω δυνατον και οικειον, τουτο και σεαυτω εφικτον νομιζε.*

16. *Εν τοις γυμνασιοις (κ' ει)*[1] *ονυξι κατεδρυψε τις, (κ' ει καταντει)*[1] *κεφαλη ερραγεις (πλαγιον επληξεν·) αλλ' ουτε επισημαινομεθα, ουτε προσκοπτομεν, ουτε ὑφορωμεθα ὑϛερον ὡς επιβουλον. Και τοι φυλαττομεθα, ου μεν τοι ὡς εχθρον, ουδε μεθ' ὑποψιας, αλλ' εκκλισεως ευμενους. Τοιουτον τοι γενεσθω, και εν τοις λοιποις μερεσι του βιου. Πολλα παρενθυμωμεθα των ὁιον προσγυμναζομενων. Εξεϛι γαρ, ὡς εφην, εκκλινειν, και μηδε ὑποπτευειν μηδε απεχθεσθαι.*

17. *Ει τις με ελεγξαι, και παραϛησαι μοι, οτι ουκ ορθως ὑπολαμβανω, δυναται, χαιρων μεταθησομαι. Ζητω γαρ την αληθειαν, ὑφ' ἡς ουδεις πωποτε εβλαβη. Βλαπτεται δε ὁ επιμενων επι της ἑαυτου απατης και αγνοιας. Εγω δε εμαυτου (το) καθηκον ποιω. Τα αλλα με ου περισπᾶ. Ητοι γαρ αψυχα, η αλογα, η πεπλανημενα, και την ὁδον αγνοουντα. Τοις μεν αλογοις ζωοις, και καθολου πραγμασι και ὑποκειμενοις, ὡς λογον εχων, λογον μη εχουσι, χρῶ μεγαλοφρονως και (ελευθεριως). Τοις δε ανθρωποις, ὡς λογον εχουσι, χρῶ κοινωνικως. Εφ' ἁπασι δε Θεους επικαλου, και μη διαφερον προς το ποσω χρονω ταυτα πραξεις. Αρκουσι γαρ τρεις ὡραι τοιαυται.*

18. *Αλεξανδρος ὁ Μακεδων, και ὁ ορεωκομος αυτου, αποθανοντες, εις ταυτο κατεϛησαν. Ητοι γαρ εληφθησαν εις τους αυτους του κοσμου σπερματικους λογους, η διεσκεδασθησαν ὁμοιως εις τας ατομους.*

19. *Ενθυμηθητι ποσα κατα τον αυτον ακαριαιον χρονον εν ἑκαϛω ἡμων ἁμα γινεται· σωματικα ὁμου και ψυχικα. Και ὁυτως ου θαυμασεις, ει πολυ πλειω, μαλλον*

Vulgata. [1] *ει· και τη· πληγην εποιησεν·* vapidè. *Πλαγιον* proprium palæstræ = foul stroke.

δε παντα τα γινομενα, εν τω ἑνι τε και συμπαντι, ὁ δη Κοσμον ονομαζομεν, ἁμα ενυφιςαται.

20. *Εαν τις σοι προβαλη πως γραφεται το Αντωνινου ονομα (μηνυτι)*[1] *κατεντεινομενος προοιση ἑκαςον των ςοιχειων. Τι ουν εαν οργιζωνται; Μητι αντοργιη; Μητι ουκ εξαριθμηση, (πραως προιων),*[2] *εκαςον των γραμματων; Ὁυτως ουν και ενθαδε, μεμνησο, ὁτι παν καθηκον εξ αριθμων τινων συμπληρουται. Τουτους δει τηρουντα, και μη θορυβουμενον, μηδε τοις δυσχεραινουσιν αντιδυσχεραινοντα, περαινειν ὁδω το προκειμενον.*

21. *Πως ωμον εςι, μη επιτρεπειν τοις ανθρωποις ὁρμᾶν επι τα φαινομενα αυτοις οικεια και συμφεροντα. Καιτοι τροπον τινα ου συγχωρεις αυτοις τουτο ποιειν, οταν αγανακ(της) οτι ἁμαρτανουσι. Φερονται γαρ (αναγκαιως),*[3] *ὡς επι οικεια και συμφεροντα αυτοις. Αλλ᾽ ουκ εχει ὁυτως. Ουκοῦν διδασκε, και δεικνυε, μη αγανακτων.*

22. *Θανατος, αναπαυλα αισθητικης αντιτυπιας, και ὁρμητικης νευροσπαςειας, και διανοητικης διεξοδου, και της προς την σαρκα λειτουργιας. Αισχρον εςιν εν ὡ βιω το σωμα σοι μη απαυδᾶ, εν τουτω την ψυχην προαπαυδᾶν.*

23. *Ὁρα μη αποκαισαρωθης· μη βαφης· γινεται γαρ. Τηρησον ουν σεαυτον ἁπλουν, αγαθον, ακεραιον, σεμνον, ακομψον, του δικαιου φιλον, θεοσεβη, ευμενη, φιλοςοργον, ερρωμενον προς τα πρεποντα εργα. Αγωνισαι, ινα τοιουτος συμμεινης ὁιον σε ηθελησε ποιησαι (ἡ) Φιλοσοφια. Αιδου Θεους· σωζε ανθρωπους. Βραχυς ὁ βιος. Ἑις καρπος της επιγειου ζωης, διαθεσις ὁσια και πραξεις κοινωνικαι. Παντα ως Αντωνινου μαθητης. Το (απεριττον και λογικον των)*[4] *πρασσομενων, και ευτονον εκεινου, και το ὁμαλες πανταχου, και το ὁσιον, και το ευδιον του προσωπου, και το μειλιχιον, και το ακενοδοξον. Και το περι την καταληψιν των πραγματων φιλοτιμον. Και ὡς εκεινος ουκ αν τι (αξιολογον)*[5] *ὁλως παρηκεν, μη προτερον ευ μαλα κατιδων*

Vulgata. [1] *μητι;* Super his multum pulucrem irritamque contentionem Critici, obscura per obscuriora interpretantes. Demum habes expeditum: scitène ac certè, tui est judicii; saltem simpliciter.—[2] Aliter interpuncta.—[3] *παντως·* omnino plumbeum.—[4] *υπερ των κατα λογον πρ·* planè ac penitus vitiosa; ut supra, fluit sententia.—[5] Deest sententiæ.

και σαφως νοησας. Και ὡς εφερεν [a]*(επιεικως)*[1] *τους αδικως αυτον μεμφομενους, μη αντιμεμφομενος. Και ὡς επ' ουδεν (κενοσπουδος ην)*[2] *και ὡς διαβολας ουκ εδεχετο. Και ὡς ακριβης ην εξεταςης ηθων και πραξεων. Και ουκ ονειδιςης, ου ψοφοδεης, ουκ ὑποπτης, ου σοφιςης. Και ὡς ολιγοις αρκουμενος, ὁιον οικησει, ςρωμνῃ, εσθητι, τροφῃ, ὑπηρεσιᾳ. Και ὡς φιλοπονος και μακροθυμος. Και ὁιος (μενειν εν τονω)*[3] *μεχρι ἑσπερας δια την λιτην διαιταν, (μηποτε)*[4] *του αποκρινειν τα περιττωματα παρα την συνηθη ὡραν χρηζων. Και το βεβαιον και ὁμοιον εν ταις φιλιαις αυτου. Και το ανεχεσθαι (των) αντιβαινοντων παρρησιαςικως ταις γνωμαις αυτου· και χαιρειν, ει τις δεικνυοι κρειττον. Και ὡς θεοσεβης χωρις δεισιδαιμονιας. Ιν' ὁυτως ευσυνειδητω σοι επιςῇ ἡ τελευταια ὡρα ως εκεινω.*

24. *Ανανηφε, και ανακαλου σεαυτον, (καθως)*[5] *εξυπνισθεις (παλαι)*[6] *και εννοησας ὁτι ονειροι σοι ηνωχλουν. (Ἡνωχλουν παλιν;)*[7] *Παλιν εγρηγορως βλεπε ταυτα ως εκεινα εβλεπες.*

25. *Εκ σωματιου ειμι και ψυχης. Τῳ μεν ουν σωματιῳ παντα αδιαφορα· ουδε γαρ δυναται διαφερεσθαι. Τῃ δε διανοιᾳ αδιαφορα, ὁσα μη εςιν αυτης ενεργηματα. Ὁσα δε αυτης εςιν ενεργηματα, ταυτα παντα επ' αυτῃ εςιν. Και τουτων μεντοι (τα) περι μονον το παρον πραγματευεται· τα γαρ μελλοντα και παρῳχηκοτα ενεργηματα αυτης, και αυτα ηδη αδιαφορα.*

26. *Ουκ εςιν ὁ πονος τῃ χειρι, ουδε τῳ ποδι παρα φυσιν, μεχρις αν ποιῇ ὁ πους τα του ποδος, και ἡ χειρ τα της χειρος. Ουτως ουν ουδε ανθρωπῳ, ὡς ανθρωπῳ, παρα φυσιν εςιν ὁ πονος, μεχρις αν ποιῇ τα του ανθρω-*

Vulgata. [1] *εκεινος* importunè.—[2] *εσπευδεν*. Quin *σπουδαιος* erat in primis.—[3] *μεν εν πω*—verba *αλογα*.—[4] *μηδε*· absurdè. —[5] *και*.—[6] *παλιν*.—[7] Omitt. Totam hanc sectionem corripit, conturbat, corrumpit scriba, qui subulcum utilius egisset. Tali est *ὑομουσιᾳ*. Etenim ita velut sues, mixtim et quasi fustim compellit vocabula, ut mihil humanum significent. Hujus sub imperio Imperator M. Ant! . . nihil Lucianus in mortuorum Dial. *ατοπωτερον*.

[a] Forsan *ευμενως*.

που. Ει δε παρα φυσιν αυτω ουκ εϛιν, ουδε κακον εϛιν αυτω.

27. *Ἡλικας ἡδονας ἡσθησαν ληϛαι, κιναιδοι, πατραλοιαι, τυραννοι;*

28. *Ουκ ὁρας πως ὁι βαναυσοι τεχνιται αρμοζονται μεν αχρι τινος προς τους ιδιωτας· ουδεν ἡσσον μεντοι αντεχονται του λογου της τεχνης, και τουτου αποϛηναι ουκ υπομενουσιν; Ου δεινον, ει ὁ αρχιτεκτων, και ὁ ιατρος, μαλλον αιδεσονται τον της ιδιας τεχνης λογον, η ὁ ανθρωπος τον ἑαυτου, ὁς αυτω κοινος εϛι προς τους θεους;*

29. *Η Ασια, ἡ Ευρωπη, γωνιαι του κοσμου. Παν πελαγος ϛαγων του κοσμου. Αθως βωλαριον του κοσμου. Παν το ενεϛως του χρονου, ϛιγμη του αιωνος. Παντα μικρα, [1](εκ)τρεπτα, εναφανιζομενα. Παντα εκειθεν ερχεται, απ' εκεινου του κοινου ηγεμονικου ὁρμησαντα, η κατ' επακολουθησιν· και το χασμα ουν του λεοντος, και το δηλητηριον, και πασα κακουργια, ὡς ακανθα, ὡς βορβορος, εκεινων επιγεννηματα των σεμνων και καλων. Μη ουν αυτα αλλοτρια τουτου ου σεβεις φανταζου αλλα την παντων πηγην επιλογιζου.*

30. *Ὁ τα νυν ιδων, παντα ἑωρακεν· ὁσα τε εξ αϊδιου εγενετο, και ὁσα εις το απειρον εϛαι. Παντα γαρ ὁμογενη και ὁμοειδη. Πολλακις επιθυμου την επισυνδεσιν ἁπαντων των εν τω κοσμω, και σχεσιν προς αλληλα· τροπον γαρ τινα παντα αλληλοις [2](εμ)πεπλεκται, και παντα κατα τουτο φιλα αλληλοις εϛι· και γαρ αλλω ἑξης εϛι τουτο, δια την τοπικην[a] κινησιν, και συμπνοιαν, και την ἑνωσιν της ουσιας.*

31. *Οις συγκεκληρωσαι πραγμασι, τουτοις συναρμοζε σεαυτον. Και ὁις συνειληχας ανθρωποις, τουτους φιλει, αλλ' αληθινως. Οργανον, εργαλειον, σκευος παν, ει προς ὁ κατεσκευαϛαι ποιει, ευ εχει. Και τοι εκει ὁ κατασκευασας εκποδων. Επι δε των ὑπο φυσεως συνεχομενων, ενδον εϛι, και παραμενει, ἡ κατασκευασασα δυναμις. Καθο και μαλλον αιδεισθαι αυτην δει, και νομιζειν, εαν κατα το βουλημα ταυτης εχης και διεξαγαγης, εχειν σοι*

Vulgata. [1] *εν.*—[2] *επιπ.*

[a] Mallem *τακτικην.*

παντα κατα νουν. Εχει δε όντως και τω Παντι κατα νουν τα έαυτου.

32. *Ο τι αν τῶν απροαιρετων ὑποστησῃς σαυτῷ αγαθον, η κακον, αναγκη κατα την περιπτωσιν τοῦ τοιουτου κακοῦ, η την αποτευξιν τοῦ τοιουτου αγαθου, μεμψασθαι σε θεοῖς· και ανθρωπους (δη) μισῆσαι, τους αιτιους οντας, η ὑποπτευομενους εσεσθαι, τῆς αποτευξεως, η τῆς περιπτωσεως· και αδικοῦμεν δη πολλα, δια την προς ταῦτα διαφοραν. Εαν δε μονα τα εφ᾽ ἡμῖν αγαθα και κακα κρινωμεν, ουδεμια αιτια καταλειπεται, ουτε θεῷ εγκαλεσαι, ουτε προς ανθρωπον ςῆναι ςασιν πολεμιου.*

33. *Παντες εις ἑν αποτελεσμα συνεργοῦμεν, οἱ μεν ειδοτως και παρακολουθητικῶς, οἱ δε ανεπιστατως· ὡσπερ και τους καθευδοντας, οιμαι, ὁ Ἡρακλειτος εργατας ειναι λεγει, και συνεργους τῶν εν τῷ κοσμῳ γινομενων. Αλλος δε κατ᾽ αλλο συνεργεῖ· (ειπερ ακουσιως· και δη)*[1] *ὁ μεμφομενος, και ὁ αντιβαινειν πειρωμενος, και αναιρεῖν τα γινομενα. Και γαρ (τον τοιουτον εχρη ζην· η μηδ᾽ ην)*[2] *ὁ κοσμος. Λοιπον ουν συνες, εις τινας ἑαυτον κατατασσεις· εκεῖνος μεν γαρ παντως σοι καλῶς χρησεται ὁ τα ολα διοικῶν· και παραδεξεται σε εις μερος τι τῶν συνεργῶν και συνεργητικῶν. Αλλα συ μη τοιοῦτο μερος γενῃ, οἷος ὁ ευτελης και γελοῖος ςιχος εν τῷ δραματι, οὗ Χρυσιππος μεμνηται. Μητι ὁ ηλιος τα τοῦ ὑετοῦ αξιοῖ ποιεῖν; μητι ὁ Ασκληπιος τα τῆς Καρποφορου; τι δε τῶν αςρων εκαστον· ουχι διαφορα μεν, συνεργα δε προς ταυτο.;*

34. *Ει μεν ουν εβουλευσαντο περι εμοῦ και τῶν εμοι συμβῆναι οφειλοντων οἱ θεοι, καλῶς εβουλευσαντο· αβουλον γαρ θεον ουδε επινοῆσαι ῥᾷδιον· κακοποιῆσαι δε με δια τινα αιτιαν εμελλον ὁρμᾷν; τι γαρ (αν) αυτοῖς, η τῷ κοινῷ, οὗ μαλιςα προνοοῦνται, εκ τουτου περιεγενετο; Ει δε μη εβουλευσαντο κατ᾽ ιδιαν περι εμοῦ, περι γε τῶν κοινῶν παντως εβουλευσαντο, οἷς κατ᾽ επακολουθησιν και ταῦτα συμβαινοντα ασπαζεσθαι και ςεργειν οφειλω. Ει δ᾽ αρα περι μηδενος βουλευονται· πιςευειν μεν ουχ οσιον· η μηδε θυωμεν, μηδε ευχωμεθα, μηδε ομνυωμεν, μηδε τα αλλα πρασσωμεν, απερ εκαστα ὡς προς παροντας και*

Vulgata. [1] *εκ περιουσιας δε και.*—[2] *τοῦ τοιουτου εχρηζεν.*

συμβιοῦντας τους θεους πρασσομεν. Ει δε αρα περι μηδενος τῶν καθ' ἡμᾶς βουλευονται, εμοι μεν εξεϛι περι εμαυτοῦ βουλευεσθαι· εμοι δε εϛι σκεψις περι τοῦ συμφεροντος· συμφερει δε ἑκαϛῳ, το κατα την ἑαυτοῦ κατασκευην και φυσιν· ἡ δε εμη φυσις λογικη και πολιτικη· πολις και πατρις, ὡς μεν Αντωνινῳ, μοι ἡ Ῥωμη· ὡς δε ανθρωπῳ, ὁ κοσμος. Τα ταῖς πολεσιν ουν ταυταις ωφελιμα, μονα εϛι μοι αγαθα. Οσα ἑκαϛῳ συμβαινει, ταῦτα τῷ ὁλῳ συμφερει· ηρκει τοῦτο. Αλλ' ετι εκεῖνο ὡς επιπαν οψει παραφυλαξας, οσα ανθρωπῳ, (και, καθ' εταιρικον,)[1] *ἑτεροις ανθρωποις. Κοινοτερον δε νῦν το συμφερον (η) επι τῶν μεσων λαμβανεσθω.*

35. *Ωσπερ προσιϛαται σοι τα εν τῷ αμφιθεατρῳ και τοῖς τοιουτοις χωριοις, ὡς αει τα αυτα ὁρωμενα, (κατα) το ὁμοειδες, προσκορῆ την θεαν ποιεῖ· τοῦτο και επι ολον τοῦ βιου πασχειν· παντα γαρ ανω κατω τα αυτα, και εκ τῶν αυτῶν. Μεχρι τινος ουν;*

36. *Εννοει συνεχῶς παντοιους ανθρωπους, και παντοιων μεν επιτηδευματων, παντοδαπῶν δε εθνῶν, τεθνεῶτας· ωϛε κατιεναι τοῦτο μεχρι Φιλιϛιωνος, και Φοιβου, και Οριγανιωνος. Μετιθι νῦν επι τα αλλα φῦλα. Εκεῖ δε μεταβαλεῖν ἡμᾶς δεῖ, οπου τοσοῦτοι μεν δεινοι ῥητορες, τοσοῦτοι δε σεμνοι φιλοσοφοι, Ἡρακλειτος, Πυθαγορας, Σωκρατης· τοσοῦτοι δε ηρωες προτερον· τοσοῦτοι δε υστερον στρατηγοι, τυραννοι· επι τουτοις δε Ευδοξος, Ἱππαρχος, Αρχιμηδης, αλλαι φυσεις οξεῖαι, μεγαλοφρονες, φιλοπονοι, πανοῦργοι, ανθαδεις, (αυταρκεις),*[2] *τῆς επικηρου και εφημερου τῶν ανθρωπων ζωῆς χλευαϛαι, οἷον Μενιππος, και οσοι τοιοῦτοι. Περι παντων τουτων εννοει, οτι παλαι κεῖνται. Τι ουν τοῦτο δεινον αυτοῖς; τι δαι τοῖς μηδ' ονομαζομενοις ολως; (Ενιοι δε πολλου αξιοι).*[3]

37. *(Τι το μεγαληθες;) Το μετ' αληθειας και δικαιοσυνης ευμενῆ τοῖς ψευϛαις και αδικοις διαβιοῦν.*

38. *Οταν ευφρᾶναι σεαυτον θελῃς, ενθυμοῦ τα προτερηματα τῶν συμβιουντων· οἷον, τοῦ μεν το δραϛηριον,*

Vulgata. [1] *η·* hic obstat; translatum, ut supra textum alioquin mancum, resanat.—[2] *αυτῆς.*—[3] *ἐν ὧδε πολλοῦ ἀξιον.* Hæc tam diu perplexa, nunc demum suo ordine et sensu simpliciter patent.

τοῦ δε το αιδῆμον, τοῦ δε το ευμεταδοτον[a] *αλλου δε αλλο τι. Ουδεν γαρ ουτως ευφραινει, ὡς τα (ὁρμηματα)*[1] *τῶν αρετῶν, εμφαινομενα τοῖς ηθεσι τῶν συζωντων, και αθροα, ὡς (ακοντια),*[2] *συμπιπτοντα. Διο και προχειρα αυτα ἑκτεον.*

39. *Μητι δυσχεραινεις, οτι τοσῶνδε τινων λιτρῶν ει, και ου τριακοσιων; οὑτω (δη)*[3] *και οτι μεχρι τοσῶνδε ετῶν βιωτεον σοι, και ου μεχρι πλειονος· ωσπερ γαρ τῆς ουσιας, οσον αφωρισται σοι ςεργεις, ουτω και επι τοῦ χρονου.*

40. *Πειρῶμεν πειθειν αυτους. Πραττε δε και αυτῶν ακοντων, οταν τῆς δικαιοσυνης ὁ λογος ουτως αγῃ. Εαν μεντοι βιᾳ τις προσχρωμενος ενιςηται, μεταβαινε επι το εναρεςον και αλυπον, και συγχρῶ εις αλλην αρετην τῃ κωλυσει· και μεμνησο, οτι μεθ' ὑπεξαιρεσεως ὁρμᾶς, (και οτι) τῶν αδυνατων ουκ ορεγου. Τινος ουν; τῆς τοιᾶσδε τινος ὁρμῆς. Τουτου (δ' ει) τυγχανεις, εφ' οἷς προηχθημεν, ταῦτα γινεται.*

41. *Ὁ μεν φιλοδοξος αλλοτριαν ενεργειαν ιδιον αγαθον ὑπολαμβανει· ὁ δε φιληδονος, ιδιαν πεῖσιν· ὁ δε νοῦν εχων, ιδιαν πρᾶξιν.*

42. *Εξεςι περι τουτου μηδεν ὑπολαμβανειν, και μη οχλεῖσθαι τῇ ψυχῇ· αυτα γαρ τα πραγματα ουκ εχει φυσιν ποιητικην τῶν ἡμετερων κρισεων.*

43. *Εθισον σεαυτον προς το ὑφ' ἑτερον λεγομενον γινεσθαι απαρενθυμητως, και ὡς οἷον τε, εν τῇ ψυχῇ τοῦ λεγοντος.*

44. *Το τῷ σμηνει μη συμφερον, ουδε τῇ μελισσῃ συμφερει.*

45. *Ει κυβερνῶνται οἱ ναῦται, η ιατρευονται οἱ καμνοντες κακῶς, (κακως ελεγον αν· η)*[4] *αλλω τινι αν προσεῖχον, (ὁπως)*[5] *αυτος ενεργοιη το τοῖς εμπλεουσι σωτηριον, η το τοῖς θεραπευομενοις ὑγιεινον;*

46. *Ποσοι, μεθ' ὧν εισῆλθον εις τον κοσμον, ηδη απεληλυθασιν;*

47. *Ικτεριῶσι το μελι πικρον φαινεται· και λυσσοδηκ-*

Vulgata. [1] ὁμοιωματα.—[2] οἷον τε.—[3] δε.—[4] ελεγον, αλλῳ· hæc quoque sectio, adhuc comploratα, viget, sic mutata, ac philosophiam spirat.—[5] η πῶς.

[a] Malim δοτικον activè.

τοις το υδωρ φοβερον· και παιδιοις το σφαιριον καλον. Τι ουν οργιζομαι; η δοκεῖ σοι (τῃ δοκησει) ελασσον ισχυειν το διεψευσμενον, η το χολιον τῷ ικτεριῶντι, και ὁ ιος τῷ λυσσοδηκτῳ; Κατα τον λογον τῆς σῆς φυσεως βιοῦν σε ουδεις κωλυσει· παρα τον λογον τῆς κοινῆς φυσεως ουδεν σοι συμβησεται.

48. *Οιοι εισιν, οἷς θελουσιν αρεσκειν, και δι' οἷα περιγινομενα, και δι' ὁιων ενεργειῶν. Ὡς ταχεως ὁ αιων παντα καλυψει· και ὁσα εκαλυψεν ηδη.*

ΒΙΒΛΙΟΝ Ζ.

1. *Τι εςι κακια;—Τοῦτ' εστιν, ὁ πολλακις ειδες. Και επι παντος (δη) τοῦ συμβαινοντος προχειρον εχε, ὁτι τοῦτο εςιν, ὁ πολλακις ειδες. Ολως ανω κατω τα αυτα εὑρησεις, ὡν μεσται αἱ ἱςοριαι αἱ παλαιαι, μεσαι, ὑπογυιοι· ὡν νῦν μεςαι αἱ πολεις και οικιαι. Ουδεν καινον· παντα και συνηθη και ολιγοχρονια.*

2. *Τα δογματα πῶς αλλως δυναται νεκρωθῆναι, εαν μη αἱ καταλληλαι αυτοῖς φαντασιαι σβεσθῶσιν; ἁς διηνεκῶς αναζωπυρεῖν (και σβεσαι)*[1] *επι σοι εςι. Δυναμαι περι τουτου, ὁ δεῖ, ὑπολαμβανειν· ει δυναμαι, τι ταρασσομαι; Τα εξω τῆς εμῆς διανοιας ουδεν ὁλως προς την εμην διανοιαν. Τοῦτο (πειθου),*[2] *και ορθος ει· Αναβιῶναι σοι εξεςιν· ιδε παλιν τα πραγματα, ὡς ἑωρας· εν τουτῳ γαρ το αναβιῶναι. Πομπῆς κενοσπουδια, επι σκηνῆς δραματα, (εφυμνια,*[3] *αγοραι,) διαδορατισμοι, (τι εισι μοι;)*[a] *κυνιδιοις οςαριον ερριμμενον, ψωμιον εις τας τῶν ιχθυων δεξαμενας, μυρμηκων ταλαιπωριαι και αχθοφοριαι, μυϊδιων επτοημενων διαδρομαι, σιγιλλαρια νευροσ-*

Vulgata. [1] Deest.—[2] *παθε·* quod ad sensum; sed *πειθου* ad rationem.—[3] *ποιμνια, αγελαι·* quæ bubulcum non imperatorem attinent; sed hæc imperatoris *εις ἑαυτον*, commemorantis solemnes illas in honorem suum celebrationes.

[a] Forsan *τι σημαινει;*

παϛουμενα. Χρη ουν εν τουτοις ευμενῶς μεν και μη καταφρυαττομενον ἑϛαναι· παρακολουθεῖν μεντοι, οτι τοσουτον αξιος εκαστος εϛιν, οσον αξια εϛι ταῦτα, περι ἁ εσπουδακεν.

3. *Δεῖ κατα λεξιν παρακολουθεῖν τοῖς λεγομενοις, και καθ' ἑκαϛην ὁρμην τοῖς γινομενοις. Και επι μεν τοῦ ἑτερου (εν θεωρεῖν,)*[1] *επι τινα σκοπον ἡ αναφορα· επι δε τοῦ ἑτερου, παραφυλασσειν, τι το σημαινομενον.*

4. *Ποτερον εξαρκεῖ ἡ διανοια μου προς τοῦτο, η ου; Ει μεν εξαρκεῖ, χρῶμαι αυτῇ προς το εργον, ὡς οργανῳ παρα τῆς τῶν ὁλων φυσεως δοθεντι. Ει δε μη εξαρκεῖ, ητοι παραχωρῶ τοῦ εργου τῷ δυναμενῳ κρεῖττον επιτελεσαι, (η,) εαν αλλως τοῦτο (μοι)*[2] *καθηκῃ, πρασσω, ὡς δυναμαι· προσπαραλαβων τον δυναμενον κατα προσχρησιν τοῦ εμοῦ ἡγεμονικοῦ ποιῆσαι το εις την κοινωνιαν (δοκουν)*[3] *καιριον και χρησιμον. Ο τι γαρ αν δι' εμαυτοῦ, η συν αλλῳ ποιῶ, ὡδε μονον χρη συντεινειν, εις το κοινῇ χρησιμον και εναρμοστον.*

5. *Οσοι μεν, πολυυμνητοι γενομενοι, ηδη ληθῃ παραδεδονται· ὁσοι δε, τουτους ὑμνησαντες, παλαι εκποδων.*

6. *Μη αισχυνου βοηθουμενος· προκειται γαρ σοι ενεργεῖν το επιβαλλον, ὡς ϛρατιώτῃ εν τειχομαχιᾳ. Τι ουν, εαν συ μεν χωλαινων επι την επαλξιν αναβῆναι μονος μη δυνῃ, συν αλλῳ δε;*[a]

7. *Τα μελλοντα μη ταρασσετω· ηξεις γαρ επ' αυτα, εαν δεησῃ, φερων τον αυτον λογον, ᾧ νῦν προς τα παροντα χρᾷ.*

8. *Παντα αλληλοις επιπλεκεται· και ἡ συνδεσις ἱερα, και σχεδον τι ουδεν αλλοτριον αλλο αλλῳ. Συγκατατετακται γαρ, και συγκοσμεῖ τον αυτον κοσμον. Κοσμος τε γαρ εἷς εξ ἁπαντων, και Θεος εἷς δια παντων, και ουσια μια, και νομος εἷς (λογικος)*[4] *κοινος παντων τῶν νοερῶν ζωων, και αληθεια μια· ειγε και τελειοτης μια τῶν ὁμογενῶν, και τοῦ αυτοῦ λογου μετεχοντων ζωων. Πᾶν το*

Vulgata. [1] *ευθυς.*—[2] *μη· η* ab alicuo loco in hunc suum transtuli; ita leui vice vitium grave emendavi.—[3] *νῦν.*—[4] *λογος.*

[a] Rejeci hinc *δυνατον ῃ ταυτα·* utpote Glossema. Stoica, ait Cicero, brevia et acuta; nihil nimium.

ενυλον εναφανιζεται ταχιςα τῇ τῶν ὁλων ουσιᾳ· και πᾶν αιτιον εις τον τῶν ὁλων λογον ταχιςα αναλαμβανεται· και παντος μνημη ταχιςα εγκαταχωννυται τῷ αιῶνι.

9. *Τῷ λογικῷ ζωῳ ἡ αυτη πρᾶξις κατα φυσιν εστι, και κατα λογον. Ορθος, (ει)*[1] *ορθουμενος.*

10. *Οἷον εςιν εν ἡνωμενοις τα μελη τοῦ σωματος, τοῦτ(ω)*[2] *εχει (το αναλογον)*[3] *εν διεςῶσι τα λογικα, προς μιαν τινα συνεργιαν κατεσκευασμενα. Μᾶλλον δε σοι ἡ τουτου νοησις προσπεσεῖται, εαν προς ἑαυτον πολλακις λεγῃς, οτι* μελος *ειμι τοῦ εκ τῶν λογικῶν συςηματος. Εαν δε, δια τοῦ ῥῶ στοιχειου,* μερος *ειναι ἑαυτον λεγῃς, ουπω απω καρδιας φιλεῖς τους ανθρωπους· ουπω σε καταληκτικῶς ευφραινει το ευεργετεῖν· ετι ὡς πρεπον αυτο ψιλον ποιεῖς· ουπω ὡς ἁυτον ευ ποιῶν.*

11. *Ο θελει, εξωθεν προσπιπτετω τοῖς παθεῖν εκ της προσπτωσεως ταυτης δυναμενοις. Εκεῖνα γαρ, εαν θελησῃ, μεμψεται, τα παθοντα· εγω δε, εαν μη ὑπολαβω, ὁτι κακον το συμβεβηκος, ουπω βεβλαμμαι. Εξεςι δε μοι μη ὑπολαβεῖν.*

12. *Ο τι αν τις ποιῃ, η λεγῃ, εμε δεῖ αγαθον ειναι· ὡς αν ει ὁ χρυσος, η ὁ σμαραγδος, η ἡ πορφυρα τοῦτο αει ελεγεν· ο τι αν τις ποιῇ, ῃ λεγῃ, εμε δεῖ σμαραγδον ειναι, και το εμαυτοῦ χρῶμα εχειν.*

13. *Το ἡγεμονικον αυτο ἑαυτῷ ουκ ενοχλεῖ· οἷον λεγω, ου (θορυβει εις φοβον ἑαυτο, ουτ')*[4] *εις επιθυμιαν. Ει δε τις αλλος αυτο φοβῆσαι η λυπησαι δυναται, ποιειτω. Αυτο γαρ ἑαυτο ὑποληπτικῶς ου τρεψει εις τοιαυτας τροπας. Το σωματιον μη παθῃ τι, αυτο μεριμνατω, ει δυναται· και λεγετω, ει τι πασχει· το δε ψυχαριον, το φοβουμενον το λυπουμενον· (το μεν ουν νουν) το περι τουτων (λογικως)*[5] *ὑπολαμβανον, ουδεν μη παθῃ. ου γαρ ἑξεις αυτω εις κρισιν τοιαυτην. Απροσδεες εςιν, (οσων) εφ' ἑαυτῷ, το ἡγεμονικον, εαν μη ἑαυτῷ ενδειαν ποιῇ· κατα ταυτα δε και αταραχον, και ανεμποδιςον, εαν μη ἑαυτο ταρασσῃ και εμποδιζῃ.*

14. *Ευδαιμονια εστι (τι;) Δαιμων αγαθος, (ἡ αγαθοποιῶν).*[6] *Τι ουν ὡδε ποιεῖς, ω φαντασια; απερχου,*

Vulgata. [1] *η.*—[2] *-ον.*—[3] *τον λογον.* Hic in criticâ, ut plerumque in physicâ et technicâ *το αναλογον* præstat *το αληθες.* —[4] *φοβεῖ ἑαυτο.*—[5] *ολως.*—[6] *αγαθον.*

τους θεους σοι! ὡς ηλθες· ου γαρ χρηζω σου. Εληλυθας δε κατα το αρχαῖον εθος. Ουκ οργιζομαι σοι· μονον απιθι.

15. *Φοβεῖται τις μεταβολην; τι γαρ δυναται χωρις μεταβολῆς γενεσθαι; τι δαι φιλτερον, η οικειοτερον τῇ τῶν ολων φυσει; συ δε αυτος λουσασθαι δυνασαι, εαν μη τα ξυλα μεταβαλῃ; τραφῆναι δε δυνασαι, εαν μη τα εδωδιμα μεταβαλῃ; αλλο δε τι τῶν χρησιμων δυναται συντελεσθῆναι χωρις μεταβολῆς; Ουχ ὁρᾷς ουν, οτι και αυτο το σε μεταβαλεῖν ομοιον εςι, και ὁμοιως αναγκαῖον τῇ τῶν ολων φυσει; Δια τῆς τῶν ολων ουσιας, ὡς δια χειμαρρου, διεκπορευεται παντα τα σωματα, τῷ ολῳ συμφυῆ και συνεργα, ὡς τα ἡμετερα μερη αλληλοις. Ποσους ηδη ὁ αιων Χρυσιππους, ποσους Επικτητους καταπεπωκε; το δ᾽ αυτο και επι παντος οὑτινοσοῦν σοι ανθρωπου τε και πραγματος προσπιπτετω. Εμε ἑν μονον περισπᾷ, μη τι αυτος ποιησω, ὁ ἡ κατασκευη τοῦ ανθρωπου ου θελει, η ὡς ου θελει, η ὁ νῦν ου θελει. Εγγυς μεν ἡ ση περι παντων ληθη· εγγυς δε ἡ παντων περι σοῦ ληθη.*

16. *Ιδιον ανθρωπου το φιλεῖν και τους πταιοντας. Τοῦτο δε γινεται, εαν συμπροσπιπτῃ σοι, οτι και συγγενεῖς, και δι᾽ αγνοιαν, και ακοντες ἁμαρτανουσι· και ὡς μετ᾽ ολιγον αμφοτεροι τεθνηξεσθε· και προ παντων, οτι ουκ εβλαψε σε· ου γαρ το ἡγεμονικον σου χεῖρον εποιησεν, η προσθεν ην.*

17. *Ἡ τῶν ολων φυσις εκ τῆς ολης ουσιας, ὡς κηροῦ, νῦν μεν ἱππαριον επλασε· συγχεασα δε τοῦτο, εις δενδρου φυσιν συνεχρησατο τῇ υλῃ αυτοῦ· ειτα εις αλλο τι· εκαςον δε τουτων προς ολιγιςον ὑπεςη. Δεινον δε ουδεν το διαλυθῆναι τῷ κιβωτιῳ, ωσπερ ουδε το συμπαγῆναι.*

18. [a]*(Τον επιδυτην)*[1] *τοῦ προσωπου (βιον)*[2] *παρα*

Vulgata. [1] *το επικοτον.* Hæc tota sectio sub scribæ stylo metamorphosin Circæis fœdiorem subiit. *προσωπον* hic, non vultus solummodo, ut interpretes, sed etiam persona, quæ vitæ prætenditur. Anima quippe corpus, velut personam, induit, idqne in vitæ dramate, ut histrio in scenâ, gerit.—[2] *λιαν· βιον* vox ænigmatis—open Sesame—ad eamque reconstruxi sectionem.

[a] Forsan *επενδυτην.*

φυσιν, οταν πολλακις εναποθνησκειν η προσχημα, (ει) το τελευταῖον απεσβεσθη, ωςε ολως εξαφθῆναι μη δυνασθαι. Αυτῷ γε (τουτον)[1] παρακολουθεῖν (εν απειρω, ετι)[2] παρα τον λογον. Ει γαρ και ἡ συναισθησις (τω μη αμα αρτανειν,)[3] οιχησεται, τις ετι τοῦ ζῆν αιτια; [a]

19. *Παντα, οσα ὁρᾷς, οσον ουπω μεταβαλεῖ ἡ τα ὁλα διοικοῦσα φυσις, και αλλα εκ τῆς ουσιας αυτῶν ποιησει, και παλιν αλλα εκ τῆς εκεινων ουσιας, ινα αει νεαρος ῃ ὁ κοσμος.*

20. *Οταν τις ἁμαρτῃ τι εις σε, ευθυς ενθυμοῦ, τι αγαθον η κακον ὑπολαβων ἡμαρτε. Τοῦτο γαρ ιδων, ελεησεις αυτον, και ουτε θαυμασεις, ουτε οργισθησῃ. Ητοι γαρ και αυτος το αυτο εκεινω αγαθον (ἐν τι)[4] ὑπολαμβανεις, η αλλο ὁμοειδες. Δει ουν συγγινωσκειν. (Η), ει μηκετι ὑπολαμβανεις τα τοιαῦτα αγαθα και κακα, ῥᾷον ευμενης εσῃ τῷ παρορῶντι.*

21. *Μη τα αποντα εννοεῖν, ὡς (ἡδιονα·)[5] αλλα τῶν παροντων τα δεξιωτατα εκλογιζεσθαι, και τουτων χαριν ὑπομιμνησκεσθαι, πῶς αν επεζητεῖτο, ει μη παρῆν. Αμα μεντοι φυλασσον, μη, δια τοῦ ουτως ασμενιζειν αυτοις, εθισῃς εκτιμᾷν αυτα, ωςε, εαν ποτε μη παρῇ, ταραχθησεσθαι.*

22. *Εις αὑτον συνειλοῦ. Φυσιν εχει το λογικον ἡγεμονικον, ἑαυτῷ αρκεῖσθαι δικαιοπραγοῦντι, και παρ' αυτο τοῦτο γαληνην εχοντι.*

23. *Εξαλειψον την φαντασιαν. Στῆσον την νευροσπαςιαν. Περιγραψον το ενεςως τοῦ χρονου. Γνωρισον το συμβαῖνον, η σοι, η αλλῳ. Διελε και μερισον το ὑποκειμενον εις το αιτιῶδες και ὑλικον. Εννοησον την εσχατην ὡραν. Το εκεινῳ*[b] *ἁμαρτηθεν εκεῖ καταλιπε, οπου ἡ ἁμαρτια ὑπεστη.*

24. *Συμπαρεκτεινειν την νοησιν τοῖς λεγομενοις. Εισδυεσθαι τον νοῦν εις τα γινομενα και ποιοῦντα.*

25. *Φαιδρυνον σεαυτον ἁπλοτητι και αιδοῖ και τῇ προς το ανα μεσον αρετῆς και κακιας αδιαφορια. Φιλη-*

Vulgata. [1] *τουτο.*—[2] *πειρῶ οτι.*—[3] *τοῦ ἁμαρτανειν.*—[4] *ετι.*—[5] *ηδη οντα.*

[a] **Mallem** *ιδεα.* [b] **Mallem** *ἐκει τῷ.*

σον το ανθρωπινον γενος. Ακολουθησον θεῷ. Εκεῖνος (εξ αιωνος νεμει φυσιν· επι)[1] Παντα νομιςι. Ετι (και διανομα)[2] τα ςοιχεῖα· αρκεῖ δε μεμνῆσθαι, οτι τα παντα νομιστι· (ςοιχειωδη, αλλ' αναλογα).[3]

26. Περι θανατου· η σκεδασμος, η ατομοι, η κενωσις, ητοι σβεσις, η μεταςασις.

27. Περι πονου· το μεν αφορητον εξαγει· το δε χρονιζον, φορητον· και ἡ διανοια την ἑαυτῆς γαληνην κατα απο ληψιν διατηρεῖ· και ου χεῖρον το ἡγεμονικον γεγονε. Τα δε κακουμενα μερη ὑπο τοῦ πονου, ει τι δυναται, περι αυτοῦ αποφηνασθω.

28. Περι δοξης· ιδε τας διανοιας αυτῶν, οἷαι, και οἷα μεν φευγουσαι, οἷα δε διωκουσαι. Και οτι, ὡς αἱ θῖνες αλλαι επ' αλλαις επιφορουμεναι κρυπτουσι τας προτερας, ουτως εν τῷ βιῳ τα προτερα ὑπο τῶν επενεχθεντων ταχιςα εκαλυφθη.

29. [Πλατωνικον]. "Ὡι ουν ὑπαρχει διανοια μεγαλοπρεπης, και θεωρια παντος μεν χρονου, πασης δε ουσιας, αρα οἷον τε οιει τουτῳ μεγα τι δοκεῖν ειναι τον ανθρωπινον βιον; Αδυνατον, η δ' ος. Ουκοῦν και θανατον ου δεινον τι ἡγησεται ὁ τοιοῦτος. Ηκιςα γε."

30. [Αντισθενικον]. "Βασιλικον, εν μεν πραττειν, κακῶς δε ακουειν."

31. Αισχρον εςι, το μεν προσωπον ὑπηκοον ειναι και σχηματιζεσθαι, και κατακοσμεῖσθαι, ὡς κελευει ἡ διανοια· αυτην δ' ὑφ' ἑαυτῆς μη σχηματιζεσθαι και κατακοσμεῖσθαι.

32. Τοῖς πραγμασιν γαρ ουχι θυμοῦσθαι χρεων·
Μελει γαρ αυτοῖς ουδεν, (ουδ' αρ') αθανατοις
Θεοις . . . .
33. (Κακ' ἡμιν φαρμακ' ανοιης).[4]
34. Βιον θεριζειν, ωςε καρπιμον ςαχυν,
Και τον μεν ειναι, τον δε μη.
35. Ει δ' ημεληθην εκ θεῶν και παιδ' εμω,
Εχει λογον και τοῦτο. Το γαρ ευ—(τουτ' εμοι)[5]
36. Το δικαιον.

Vulgata. [1] μεν φησιν, οτι. Hæc millefariam sollicitata in solidum ut spero, idque ad Philosophiæ ac Pietatis normam construxi.—[2] ει δαιμονα.—[3] ηδη λιαν ολιγα.—[4] Θεοις και ημιν χαρματα δοιης. Ita hæc, conturbata hactenus, ad ordinem, ad rhythmum, ad rationem denique ac religionem redegi.

37. Μη (συνεπου θρηνῶν,)[1] μη σφυζειν (ες φυσιν).

38. [Πλατωνικα]. "Εγω δε τουτῳ αν δικαιον λογον αντειποιμι· ὁτι ου καλῶς λεγεις, ω ανθρωπε, ει οιει δεῖν κινδυνον ὑπολογιζεσθαι τοῦ ζῆν η τεθναναι ανδρα, ὁτου τι και σμικρον οφελος· αλλ' ουκ εκεῖνο μονον σκοπεῖν, ὁταν πραττῃ, ποτερον δικαια η αδικα πραττει, και ανδρος αγαθοῦ εργα η κακοῦ."

39. "Ουτω γαρ εχει, ὦ ανδρες Αθηναῖοι, τῇ αληθειᾳ,[a] οὗ αν τις αὑτον ταξῃ ἡγησαμενος βελτιϛον ειναι, η ὑπ' αρχοντος ταχθῇ, ενταῦθα δεῖ, ὡς εμοι δοκεῖ, μενοντα κινδυνευειν· μηδεν ὑπολογιζομενον, μητε θανατον, μητε αλλο τι μηδεν, προ τοῦ αισχροῦ."

40. "Αλλ', ω μακαριε, ὁρα, μη αλλο τι το γενναῖον, και το αγαθον ᾖ, η το σωζειν τε και σωζεσθαι· μη γαρ τοῦτο μεν, το ζῆν ὁποσον δη χρονον, τον γε ὡς αληθῶς ανδρα, εατεον εϛι, και ου φιλοψυχητεον· αλλ' επιτρεψαντα περι τουτων τῷ θεῷ, και πιϛευσαντα (οτι δει εις γενναια ζῆν,)[2] επει την εἱμαρμενην ουδ' αν εἷς εκφυγοι, το επι τουτῳ σκεπτεον, τινα αν τροπον, τοῦτον, ον μελλει χρονον βιῶναι, ὡς αριϛα βιῴη."

41. Περισκοπεῖν αϛρων δρομους, ωσπερ συμπεριθεοντα· και τας τῶν ϛοιχειων εις αλληλα μεταβολας συνεχῶς εννοεῖν. Αποκαθαιρουσι γαρ αἱ τουτων φαντασιαι τον ῥυπον τοῦ χαμαι βιου.

42. Καλον το τοῦ Πλατωνος. Και δη περι ανθρωπων τους λογους ποιουμενον, επισκοπεῖν δεῖ και τα επιγεια, ωσπερ ποθεν ανωθεν κατω (ὁ αιετος),[3] ϛρατευματα, γεωργια, γαμους, διαλυσεις, γενεσεις, θανατους, δικαϛηριων θορυβον, ερημους χωρας, βαρβαρων εθνη ποικιλα, ἑορτας, θρηνους, αγορας, το παμμιγες, και το εκ τῶν εναντιων συγκοσμουμενον.

Vulgata.[1] συνεπιθρηνειν.—[2] ταῖς γυναιξιν οτι· pro surreptitio (pos. 1,) ac triviali, proprium ac Stoâ dignum.—[3] αγελας. Id egregium; cœlo propius ac divinæ philosophiæ; αγελας contra bubulcum sapit; quam quidem disciplinam congenialem credo hunc nostrum tam bovinum scribam diu exercitasse. Si diutius, eò melius. Inde patet cur αγελας pro αγορας, etc., toties obtrudat.

[a] Forsan supplendum ὁιον τῃ ϛρατειᾳ.

43. *Τα προγεγονοτα αναθεωρεῖν· τας τοσαυτας τῶν ἡγεμονιῶν μεταβολας. Ἐξεςι και τα εσομενα προεφορᾶν. Ὁμοειδῆ γαρ παντως εςαι, και ουχ οἷον τε εκβῆναι τοῦ ῥυθμοῦ τῶν νῦν γινομενων· οθεν και ισον, το τεσσαρακοντα ετεσιν ἱςορῆσαι τον ανθρωπινον βιον, τῷ επι ετη μυρια. Τι γαρ πλεον οψει;*

44. *Τα εκ γῆς μεν*
Φυντ' εις γαῖαν· τα δ' απ' αιθεριου
Βλαςοντα γονῆς εις ουρανιον
Παλιν ηλθε πολον.

(*Τι τουτο*);[1] *διαλυσις τῶν εν ταῖς ατομοις αντεμπλοκῶν, και* (*τευκτικος*) *τις σκορπισμος τῶν απαθῶν ςοιχειων.*

45. *Και*

Σιτοισι και ποτοῖσι και μαγευμασι
Παρεκτρεποντες *(*ευχετον*)[2] *ωςε μη θανεῖν,*
Θεοθεν (*επιπνουντ'*)[3] *ουρον:*
Αναγκη τλῆναι (*ακαματοις*),[4] *ανοδυρτοις.*

46. (*Σαββατικωτερος*,)[5] *αλλ' ουχι κοινωνικωτερος, ουδε αιδημονεςερος, ουδε ευμενεςερος προς τα τῶν πλησιον παρορα ματα.*

47. *Οπου εργον επιτελεῖσθαι δυναται κατα τον κοινον θεοῖς και ανθρωποις λογον, εκεῖ ουδεν δεινον· οπου γαρ ωφελειας τυχεῖν εξεςι δια τῆς ευοδουσης και κατα την κατασκευην προϊουσης ενεργειας, εκεῖ ουδεμιαν βλαβην ὑφορατεον. Πανταχοῦ και διηνεκῶς επι σοι εςι, και τῇ παρουσῃ συμβασει θεοσεβῶς ευαρεςεῖν, και τοῖς παροῦσιν ανθρωποις κατα δικαιοσυνην προσφερεσθαι, και τῇ παρουσῃ φαντασιᾳ εμφιλοτεχνεῖν, ἱνα μη τι ακαταληπτον παρεισρυῇ.*

Vulgata. [1] *Η τοῦτο.* Spinosa quæstio, si ad vulg. referas. Emendata, sicut habes, œthere lucidiora.—[2] *οχετον·* prout *ανασχετον*, etc.—[3] *δε πνεοντ'·* hæc ad priora accommodavi; *ουρος* etenim secundum spirat, neutiquam *κατ' αναγκην*. Spirat quoque religionem hæc emendatio, eamque proinde fidelibus commendo.—[4] *καματοις·* quod se statim vindicat.—[5] *Καββαλικωτερος· Σαββ.* Gentilibus idem ac superstitiosior. Quousque Jordanus in Tiberim, Hebræi ritus in Romam defluxerint, notum ex Horat. Juven, etc.

* Forsan *ευκτεον*, *οπως*, vel *του·* ut metro consulatur.

48. *Μη περιβλεπου αλλοτρια ἡγεμονικα, αλλ' εκεῖ βλεπε κατ' ευθυ, επι τι σε ἡ φυσις ὁδηγεῖ· η τε τοῦ ὁλου δια τῶν συμβαινοντων σοι, και ἡ ση δια τῶν πρακτεων ὑπο σοῦ. Πρακτεον δε ἑκαςῳ το ἑξῆς τῇ κατασκευῇ· κατεσκευαςαι δε τα μεν λοιπα τῶν λογικῶν ἑνεκεν· ωσπερ και επι παντος αλλου τα χειρω τῶν κρειττονων ἑνεκεν· τα δε λογικα αλληλων ἑνεκεν. Το μεν ουν προηγουμενον εν τῇ τοῦ ανθρωπου κατασκευῇ το κοινωνικον εςι. Δευτερον δε, το ανενδοτον προς τας σωματικας πεισεις· λογικῆς γαρ και νοερᾶς κινησεως ιδιον, περιοριζειν ἑαυτην, και μηποτε ἡττᾶσθαι μητε αισθητικῆς, μητε ὁρμητικῆς κινησεως· ζωωδεις γαρ ἑκατεραι· ἡ δε νοερα εθελει προτιςευειν, και μη κατακρατεῖσθαι ὑπ' εκεινων. Δικαιως γε· πεφυκε γαρ χρηςικη πᾶσιν εκεινοις. Τριτον εν τῇ λογικῇ κατασκευῇ το απροπτωτον και [a](ανεξαναςατον).[1] Τουτων ουν εχομενον το ἡγεμονικον (ευθεια)[2] περαινετω, και εχει τα ἑαυτοῦ.*

49. *Ὡς αποτεθνηκοτα δεῖ (ταδ' εικαια)[3] μεχρι νῦν (βεβιωμενα,)[4] το λοιπον εκ τοῦ περιοντος ζῆσαι κατα την φυσιν. Μονον φιλεῖν το ἑαυτῷ συμβαῖνον και συγκλωθομενον. Τι γαρ ἁρμοδιωτερον; Εφ' ἑκαςον συμβαματος εκεινους προ ομματων εχειν, οἷς τα αυτα συνεβαινεν· επειτα ηχθοντο, εξενιζοντο, εμεμφοντο· νῦν ουν εκεῖνοι ποῦ; ουδαμοῦ· τι ουν και συ θελεις ὁμοιως; ουχι δε τας μεν αλλοτριας τροπας καταλιπεῖν τοῖς τρεπουσι και τρεπομενοις, αυτος δε περι το πῶς χρῆσθαι αυτοῖς ὁλος γινεσθαι; χρηση γαρ καλῶς· και υλη σου εςαι· μονον (προσεχε σεαυτῳ, και θελε) καλος ειναι επι παντος, οὗ πρασσεις· και μεμνησο αμφοτερων, οτι [b](το διαφορον εςιν ἡ πραξις, και α)διαφορον εφ' οὗ ἡ πρᾶξις.*

50. *Ενδον βλεπε. Ενδον ἡ πηγη τοῦ αγαθοῦ, και αει αναβλυειν δυναμενη, εαν αει σκαπτης.*

51. *Δεῖ και το σῶμα πεπηγεναι, και μη διερριφθαι,*

Vulgata. [1] *ανεξαπατητον*· pueri non philosophi.—[2] *ευθεια*.—[3] *και*.—[4] *βεβιωκοτα*· cæca hæc et muta, donec mutata.—[b] *δι*. Cadaver hoc, criticorum vermes commentitii corruptione enati, perturbant, distrahunt, sed animare nequeunt. Ut supra, vivit ac valet.

[a] In his tribus *τικον* melius; *τα λογικα* enim *ουκ εν πεισει αλλ' ενεργεια*. Cf. l. 9, s. 15.

μητε εν κινησει, μητε εν σχεσει. Οἷον γαρ τι επι τοῦ προσωπου παρεχεται ἡ διανοια, συνεςως αυτο και ευσχημον συντηροῦσα, τοιοῦτο και επι ολου τοῦ σωματος (υπασκητεον).[1] *Παντα δε ταῦτα συν τῷ ανεπιτηδευτῳ φυλακτεα.*

52. *Ἡ βιωτικη τῇ παλαιςικῇ ὁμοιοτερα, ηπερ τῇ ορχηςικῇ· κατα το προς τα εμπιπτοντα, και ου προεγνωσμενα, ετοιμος και απτως ἑςαναι.*

53. *Συνεχῶς εφιςαναι, τινες εισιν οὗτοι, ὑφ᾽ ὧν μαρτυρεῖσθαι θελεις, και τινα ἡγεμονικα εχουσιν. Ουτε γαρ μεμψῃ τοῖς ακουσιως πταιουσιν, ουτε επιμαρτυρησεως δεησῃ, επιβλεπων εις τας πηγας τῆς ὑποληψεως και ὁρμῆς αυτῶν.*

54. *Πασα ψυχη (ακουσα κατα φυσιν)*[2] *ςερεται αληθειας· ουτως ουν και δικαιοσυνης, και σωφροσυνης, και ευμενειας, και παντος τοῦ (λογιςικου). Αναγκαιοτατον δε το διηνεκῶς τουτου μεμνῆσθαι· εσῃ γαρ προς παντας πρᾳοτερος.*

55. *Επι μεν παντος πονου προχειρον εςω, ὁτι ουκ αισχρον, ουδε την διανοιαν την κυβερνῶσαν χειρω ποιεῖ· ουτε γαρ, καθο ὑλικη εςιν, ουτε καθο κοινωνικη, διαφθειρει αυτην· επι μεντοι τῶν πλειςων πονων και το τοῦ Επικουρου σοι βοηθειτω, οτι (ει τοι)*[3] *αφορητον, (ειτα ουκ)*[4] *αιωνιον, εαν τῶν ορων μνημονευῃς, και μη προσδοξαζῃς. Κἀκεινου δε μεμνησο, οτι πολλα, (απο πονου ταραττοντα),*[5] *λανθανει (ον) δυσχεραινομενα· οἷον το νυςαζειν, και το καυματιζεσθαι, και το ανορεκτεῖν· οταν ουν τινι τουτων δυσαρεςῇς, λεγε σεαυτῷ οτι (τονου)*[6] *ενδιδως.*

56. *Ορα, μηποτε (τι) τοιοῦτον παθῃς προς τους απανθρωπους, οἷον οἱ απανθρωποι προς τους ανθρωπους.*

57. *Ποθεν ισμεν, ει (ὁ) τηλαυγης Σωκρατης (Κριτιου)*[7] *διαθεσιν κρεισσων ην· ου γαρ αρκεῖ, ει Σωκρατης ενδοξοτερον απεθανε, και εντρεχεςερον τοῖς σοφιςαῖς διελεγετο,*

Vulgata. [1] *απαιτητεον*. Sed *υπασ.* = citra ostentationem.—[2] *ακουσα φησιν*.—[3] *ουτε*.—[4] *ουτε*.—[5] *πονῳ τα αυτα οντα*.—[6] *πονῳ·* forsan *τονου ει ενδεης·* Vulgata quippe falsa ac Philosopho indigna.—[7] *και·* Socratis venenum haurientis vox nota—"Propino pulchro Critiæ;" qui inter accusatores fuerat acerrimus. Sub hoc sole Platonico evanescit teterrima ea vaporum commentitiorum super isto loco conglomeratio.

και καρτερικωτερον εν τῳ παγῳ διεννκτερευεν, και τον Σαλαμινιον κελευσθεις αγειν, γεννικωτερον εδοξεν αντιβῆναι, και εν ταῖς ὁδοῖς εβρενθυετο· περι οὗ και μαλις' αν τις απιςησειεν, ειπερ αληθες ην· αλλ' εκεῖνο δεῖ σκοπεῖν, ποιαν τινα την ψυχην ειχε Σωκρατης· και ει εδυνατο αρκεῖσθαι τῳ δικαιος ειναι τα προς ανθρωπους, και οσιος τα προς θεους· μητε εικῇ προς την κακιαν αγανακτῶν, μηδε μην δουλευων τινος αγνοιᾳ, μητε τῶν απονεμομενων εκ τοῦ ολου ὡς ζενον τι δεχομενος, η ὡς αφορητον (ἀπογεμων·) μητε τοῖς τοῦ σαρκιδιου παθεσιν εμπαρεχων συμπαθῆ τον νοῦν· ον ἡ φυσις ουχ ουτως συνεκερασε τῳ συγκριματι, ὡς μη εφεῖσθαι περιοριζειν ἑαυτον, και τα ἑαυτοῦ ὑφ' ἑαυτῳ ποιεῖσθαι· (αιτιον) γαρ.[a]

58. *Ενδεχεται θεῖον ανδρα γενεσθαι, και ὑπο μηδενος γνωρισθῆναι. Τουτου μεμνησο αει, και ετι εκεινου, οτι εν ολιγιςοις κεῖται το ευδαιμονως βιῶσαι. Και μη, ὁτι απηλπισας διαλεκτικος και φυσικος εσεσθαι, δια τοῦτο απογνῷς, και ελευθερος, και αιδημων, και κοινωνικος, και ευπειθης Θεῷ.*

59. *Αβιαςως διαζῆσαι εν πλειςῃ θυμηδιᾳ· κἀν παντες καταβοῶσιν ατινα βουλονται, κἀν τα θηρια διασπᾷ τα μελυδρια τοῦ περιτεθραμμενου τουτου φυραματος. Τι γαρ κωλυει, εν πᾶσι τουτοις, την διανοιαν σωζειν ἑαυτην εν γαληνῃ, και κρισει περι τῶν περιεςηκοτων αληθεῖ, και χρησει τῶν ὑποβεβλημενων ἑτοιμῃ; ωςε την μεν κρισιν λεγειν τῳ προσπιπτοντι, Τοῦτο ὑπαρχεις κατ' ουσιαν, κἀν κατα δοξαν αλλοῖον φαινῃ· την δε χρῆσιν λεγειν τῳ ὑποπιπτοντι, Σε εζητουν· αει γαρ μοι το παρον ὑλη αρετῆς λογικῆς και πολιτικῆς· και το συνολον (κεχρηται ανθρωπω εκ)*[1] *Θεοῦ. Πᾶν γαρ το συμβαῖνον, (Θεου δη)*[2] *ανθρωπῳ εξοικειοῦται· και ουτε καινον, ουτε δυσμεταχειριςον, αλλα γνωριμον και ευεργες.*

60. *Τοῦτο εχει ἡ τελειοτης τοῦ ηθους, το πᾶσαν ἡμεραν ὡς τελευταιαν διεξαγειν· και μητε σφυζειν, μητε ναρκᾶν, μητε ὑποκρινεσθαι.*

Vulgata. [1] *τεχνης ανθρωπου, η.*—[2] *θεῷ, η·* mera corruptio. Quæ suffcei, miniinè mutata, sensum simplicem, verum, pium præstant = Homini omnia e Deo.

[a] Hæc decomposui ac rec socordiâ ac situ exanimata—*εξ Ερεβους, εις φαος Ηελιου.*

61. *Οἱ θεοι, αθανατοι οντες, ου δυσχεραινουσιν, οτι εν τοσουτῳ αιῶνι δεησει αυτους (απαθως)*[1] *αει τοιουτων οντων και τοσουτων φαυλων ανεχεσθαι· προσετι δε και κηδονται αυτῶν παντοιως. Συ δε, ὁσον ουδεπω ληγειν μελλων, απαυδᾳς; και ταῦτα, εἷς ων τῶν φαυλων;*

62. *Γελοῖον εςι, την μεν ιδιαν κακιαν μη φευγειν, ὁ και δυνατον εςι· την δε τῶν αλλων φευγειν, ὁπερ αδυνατον.*

63. *Ὁ αν ἡ λογικη και πολιτικη δυναμις εὑρισκη μητε νοερον, μητε κοινωνικον, ευλογως καταδεεςερον ἑαυτῆς κρινει.*

64. *Ὁταν συ ευ πεποιηκως ῃς, και αλλος ευ πεπονθως, τι ετι ζητεῖς τριτον παρα ταῦτα· ωσπερ οἱ μωροι· το και δοξαι ευ πεποιηκεναι, η το αμοιβῆς τυχεῖν; Ουδεις καμνει ωφελουμενος. Ωφελεια δε πρᾶξις κατα φυσιν. Μη ουν καμνε ωφελουμενος, εν ᾧ ωφελεῖς.*

65. *Ἡ τοῦ ὁλου φυσις επι την κοσμοποιΐαν ὡρμησε· νῦν δε ητοι πᾶν το γινομενον κατ' επακολουθησιν γινεται·* (ἢ)[2] *αλογιςα και τα κυριωτατα εςιν· (η ταῦτα εςιν)*[3] *εφ' ἁ ποιεῖται ιδιαν ὁρμην το τοῦ κοσμου ἡγεμονικον. Εις πολλα σε γαληνοτερον ποιησει τοῦτο μνημονευομενον.*

ΒΙΒΛΙΟΝ Η.

1. *Και τοῦτο προς το ακενοδοξον φερει, ὁτι ουκ ετι δυνασαι τον βιον ολον, η τον γε απο νεοτητος, φιλοσοφον βεβιωκεναι· αλλα πολλοῖς τε αλλοις, και αυτος σεαυτῷ δῆλος γεγονας, πορρω φιλοσοφιας ων. Πεφυρσαι ουν· ὡςε την μεν δοξαν την τοῦ φιλοσοφου κτησασθαι, ουκετι σοι ῥᾳδιον· ανταγωνιζεται δε και ἡ ὑποθεσις. Ειπερ ουν αληθῶς ἑωρακας, ποῦ κεῖται το πρᾶγμα, το μεν, τι δοξεις, αφες· αρκεσθητι δε, ει καν το λοιπον τοῦ βιου, ὁσον δηποτε, ὡς ἡ ση φυσις θελει, βιωσεις. Κατανοησον*

Vulgata. [1] παντως.—[2] ἢ· per ἢ anima mortuo inspiratur.—[3] Omittit hæc verba, in quibus vita.

ουν, τι θελει, και μηδεν αλλο σε περισπατω· πεπειρασαι γαρ, περι ποσα πλανηθεις, ουδαμοῦ εὗρες το ευ ζῇν. Ουκ εν συλλογισμοῖς, ουκ εν πλουτῳ, ουκ εν δοξῃ, ουκ εν απολαυσει, ουδαμοῦ. Ποῦ ουν εςιν; Εν τῷ ποιεῖν, ἁ επιζητεῖ ἡ τοῦ ανθρωπου φυσις· Πῶς ουν ταῦτα ποιησει; Εαν δογματα εχῃ, αφ' ὧν ἁι ὁρμαι και αἱ πραξεις. Τινα δογματα; Τα περι αγαθῶν και κακῶν· ὡς ουδενος μεν αγαθοῦ οντος ανθρωπῳ, ὁ ουχι ποιεῖ δικαιον, σωφρονα, ανδρεῖον, ελευθερον· ουδενος δε κακοῦ, ὁ ουχι ποιεῖ ταναντια τοῖς ειρημενοις.

2. Καθ' ἑκαςην πρᾶξιν ερωτα σεαυτον, Πῶς μοι αυτη εχει; μη μετανοησω επ' αυτῇ;—μικρον (δε) και τεθνηκα, και παντ' εκ μεσου—Τι πλεον επιζητῶ, ει το παρον εργον ζωου νοεροῦ, και κοινωνικοῦ και [1](ὑπ)ονομου θεῷ;

3. Αλεξανδρος δε και Γαΐος και Πομπηΐος, τι προς Διογενη και Ηρακλειτον και Σωκρατην; Οἱ μεν γαρ ειδον τα πραγματα, και τας υλας· και τα ἡγεμονικα ην αυτῶν (ανα τα αιτια·)[2] εκεῖ δε (ὁσιων περι ανοια)[3] και δουλεια (ανοσιων).[4]

4. Ὁτι ουδεν ἡττον τα αυτα ποιησουσι, κἀν συ διαρραγῇς. Το πρῶτον, μη ταρασσου· παντα γαρ κατα την τοῦ ολου φυσιν· και ολιγου χρονου ουδεις ουδαμοῦ εσῃ· ωσπερ ουδε Ἁδριανος, ουδε Αυγουςος. Επειτα ατενισας εις το πραγμα, ιδε αυτο· και συμμνημονευσας, ὁτι αγαθον σε ανθρωπον ειναι δεῖ, και τι τοῦ ανθρωπου ἡ φυσις απαιτει, πραξον τοῦτο αμεταστρεπτι· και ειπε ὡς δικαιοτατον φαινεται σοι· μονον ευμενῶς, και αιδημονως, και ανυποκριτως.

5. Ἡ τῶν ὁλων φυσις τοῦτο εργον εχει· τα ὧδε οντα εκεῖ μετατιθεναι, μεταβαλλειν, αιρειν ενθεν, και εκεῖ φερειν. Παντα τροπαι· ουχ ωςε φοβηθῆναι, μη τι καινον· παντα συνηθη, (διαλλακτα·)[5] ισαι αἱ απονεμησεις.

6. Αρκεῖται πᾶσα φυσις ἑαυτῃ ευοδουσῃ· φυσις δε λογικη ευοδεῖ, εν μεν φαντασιαις, μητε ψευδεῖ, μητε αδηλῳ συγκατατιθεμενῃ· τας ὁρμας δε επι τα κοινωνικα εργα μονα απευθυνουσα· τας ορεξεις δε και εκκλισεις τῶν εφ' ἡμῖν μονον πεποιημενη· το δε ὑπο τῆς κοινῆς φυσεως απονεμομενον πᾶν ασπαζομενη. Μερος γαρ αυτῆς εςιν, ὡς

Vulgata. [1] ισ.—[2] ταυτα.—[3] προνοια.—[4] ποσων.—[5] αλλα και.

ἡ τοῦ φυλλρυ φυσις τῆς τοῦ φυτοῦ φυσεως· πλην ὁτι εκεῖ μεν ἡ τοῦ φυλλου φυσις μερος εςι φυσεως και αναισθητου και αλογου, και εμποδιζεσθαι δυναμενης· η δε τοῦ ανθρωπου φυσις μερος εςιν ανεμποδιςου φυσεως και νοερᾶς και δικαιας· ειγε ισους και κατ' αξιαν τους μερισμους χρονων, ουσιας (αϊδιου,)[1] ενεργειας, συμβασεως, ἑκαςοις ποιεῖται. Σκοπει δε, μη ει το εν προς το ἑν ισον εὑρησεις επι παντος, αλλα ει συλληβδην τα παντα τοῦδε προς αθροα τα τοῦ ἑτερου.

7. Αναγινωσκειν ουκ εξεςιν· Αλλα ὑβριν ανειργειν εξεςιν· αλλα ἡδονῶν και πονων καθυπερτερεῖν εξεςιν· αλλα τοῦ δοξαριου ὑπερανω ειναι εξεςιν· αλλα αναισθητοις και αχαριςοις μη θυμοῦσθαι· προσετι κηδεσθαι αυτῶν, εξεςιν.

8. Μηκετι σου μηδεις ακουσῃ καταμεμφομενου τον εν αυλῇ βιον· (Κηδου συ του)[2] σεαυτοῦ.

9. Ἡ μετανοια εςιν επιληψις τις ἑαυτου, ὡς χρησιμον τι παρεικοτος· το δε αγαθον χρησιμον τι δεῖ ειναι, και επιμελητεον αυτοῦ τῷ καλῷ καγαθῷ ανδρι· ουδεις δ' αν καλος και αγαθος ανηρ μετανοησειεν, επι τῷ ἡδονην τινα παρειχεναι· ουτε αρα χρησιμον, ουτε αγαθον ἡδονη.

10. Τοῦτο τι εςιν, αυτο καθ' ἑαυτο, τῇ ιδιᾳ κατασκευῇ; τι μεν το ουσιῶδες αυτοῦ και ὑλικον; τι δε το αιτιῶδες; τι δε ποιεῖ εν τῷ κοσμῳ; ποσον δε χρονον ὑφιςαται.

11. Ὁταν εξ ὑπνου δυσχερῶς εγειρῃ, αναμιμνησκου, ὁτι κατα την κατασκευην σου εςι, και κατα την ανθρωπικην φυσιν, το πραξεις κοινωνικας αποδιδοναι· το δε καθευδειν, κοινον και τῶν αλογων ζωων· ὁ δε κατα φυσιν ἑκαςω, τοῦτο οικειοτερον και (προσφερεςερον),[3] και δη και προσηνεςερον.

12. Διηνεκῶς, και επι πασης, ει οἱον τε, φαντασιας, φυσιολογειν, παθολογεὶν, διαλεκτικευεσθαι. Ὡι αν εντυγχανῃς, ευθυς σαυτῷ προλεγε· οὗτος τινα δογματα εχει περι αγαθῶν και κακῶν; ει γαρ περι ἡδονῆς και πονου,

---

Vulgata. [1] αιτιου· sed natura causam non dispensat. quin ipsa a causâ = Deo, proficiscitur.—[2] μηδε· hæc delirantis—ea substituta, prudentis ac pii.—[3] προσφυεςερον· id vix ita M. Ant. προσφερ· complanat phrasin.

και τῶν ποιητικῶν ἑκατερον, και περι δοξης, αδοξιας, θανατου, ζωῆς, (τοιαδε) τινα δογματα εχει, ουδεν θαυμαστον, η ξενον μοι δοξει, εαν τοιαδε τινα ποιῇ· και μεμνησομαι, ὁτι αναγκαζεται οὑτως ποιεῖν. (Τι ουν μεμψομαι; επει)[1] *ωσπερ αισχρον εστι ξενιζεσθαι, ει ἡ συκῆ σῦκα φερει· οὑτως, ει ὁ κοσμος (ταδε) τινα φερει, ὡν εστι φορος· και ιατρῷ δε και κυβερνητῃ αισχρον ξενιζεσθαι, ει πεπυρεχεν οὑτος, η ει αντιπνοια γεγονεν.*

13. *Μεμνησο, ὁτι και το (ἀυτον, μετατιθεσθαι και ἑπεσθαι τῷ διορθοῦντι ὁμοιως ελευθερον εστι. Ση γαρ ενεργεια κατα την σην ὁρμην και κρισιν (αν ειη), και δη και κατα νοῦν τον σον περαινομενη.*

14. *Ει μεν επι σοι, τι αυτο ποιεῖς; ει δε επ' αλλῳ, τινι μεμφῃ; ταῖς ατομοις, η τοῖς θεοῖς; αμφοτερα μανιωδη. Ουδενι μεμπτεον. Ει μεν γαρ δυνασαι, (τον αιτιον) διορθωσον· ει δε μη, το γε πραγμα αυτο. Ει δε μηδε τοῦτο, προς τι ετι σοι φερει το μεμψασθαι; εικῇ γαρ ουδεν ποιητεον.*

15. *Εξω τοῦ κοσμοῦ το αποθανον ου πιπτει. Ει (δ') ὡδε μενει, και μεταβαλλει ὡδε, και διαλυεται εις τα ιδια· ἁ στοιχεῖα εστι τοῦ κοσμου και σα. Και αυτα δε μεταβαλλει, και ου γογγυζει.*

16. *Εκαστον προς τι γεγονεν· ἱππος, αμπελος, (ες τι καθαρμοζεται·)*[2] *και ὁ Ηλιος, (αρ' ου)*[3] *προς τι εργον γεγονε, και (εκλειπει φαος);*[5] *Συ ουν προς τι; το ἡδεσθαι; (ες τοιαδε σοι εν)εχεται*[6] *ἡ εννοια.*

17. *Ἡ φυσις εστοχασται ἑκαστου, ουδεν τι ελασσον τῆς απολῆξεως, η τῆς αρχῆς τε και διεξαγωγῆς· ὡς ὁ αναβαλλων την σφαῖραν· τι ουν αγαθον τῷ σφαιρίῳ αναφερομενῳ, η κακον καταφερομενῳ, η και πεπτωκοτι; Τι δε αγαθον τῇ πομφολυγι συνεστωσῃ, η κακον διαλυθειση; τα ὁμοια δε και επι λυχνου. Εκστρεψον, και θεασαι (σωματιον)· οἷον εστι. γηρασαν δε οἷον γινεται, νοσῆσαν δε, (παρανοησαν).*[6]

18. *Βραχυβιον και ὁ επαινῶν και ὁ επαινουμενος· και ὁ μνημονευων, και ὁ μνημονευομενος. Προσετι δε και εν*

Vulgata. [1] *Μεμνησομαι οτι.*—[2] *τι θαυμαζεις*—[3] *ερεῖ.*—[4] *οἱ λοιποι θεοι·* ab hoc abhorret Stoa.—[5] *ιδε, ει ανεχ·* sed melius *ενεχεται* = hæret, ut in luto.—[6] *πορνεῦσαν.*

γωνιᾳ τουτου τοῦ κλιματος, και ουδε ενταῦθα παντες συμφωνοῦσι, και ουδε αυτος τις ἑαυτῷ· και ὁλη δε ἡ γῆ ςιγμη.

19. *Προσεχε τῷ ὑποκειμενῳ(·) η τῷ δογματι, η τῇ ενεργειᾳ, η τῷ σημαινομενῳ. (Εικαιως παντα)*[1] *πασχεις· (εις μελλον)*[2] *δε θελεις—αγαθος αυριον γενεσθαι—(χρη)*[3] *σημερον ειναι.*

20. *Πρασσω τι; πρασσω, επ᾽ ανθρωπων ευποιΐαν αναφερων· συμβαινει τι μοι; δεχομαι, επι τους θεους αναφερων, και την παντων πηγην, αφ᾽ ἧς παντα τα γινομενα συμμηρυεται.*

21. *Ὁποῖον σοι φαινεται το λουεσθαι· ελαιον, ἱδρως, ῥυπος, ὑδωρ γλοιῶδες, παντα σιχαντα· τοιοῦτον πᾶν μερος τοῦ βιου, και πᾶν ὑποκειμενον. Λουκιλλα Οὐῆρον, ειτα Λουκιλλα· Σεκουνδα Μαξιμον, ειτα Σεκουνδα· Επιτυγχανος Διοτιμον, ειταΕπιτυγχανος· Φαυςιναν Αντωνῖνος, ειτα Αντωνῖνος· (ςοιχιςα, αποτακτα).*[4] *Κελερ Ἁδριανον, ειτα Κελερ. Οἱ δε δριμεῖς εκεῖνοι, η προγνωςικοι, η τετυφωμενοι, ποῦ; οἷον, δριμεῖς μεν, Χαραξ και Δημητριος ὁ Πλατωνικος, και Ευδαιμων, και ει τις τοιοῦτος. Παντα εφημερα, τεθνηκοτα, (απαλειπτα·)*[5] *ενιοι μεν ουδε επ᾽ ολιγον μνημονευθεντες· οἱ δε εις μυθους μεταβαλοντες· οἱ δε ηδη και εκ μυθων εξιτηλοι. Τουτων ουν μεμνῆσθαι, ὁτι δεησει ητοι σκεδασθῆναι το συγκριματιον σου, η σβεσθῆναι το πνευματιον, η μεταςῆναι, και αλλαχοῦ καταταχθῆναι.*

22. *Ευφροσυνη ανθρωπου, ποιεῖν τα ιδια ανθρωπου. Ιδιον δε ανθρωπου, ευνοια προς το ὁμοφυλον· ὑπεροκασις τῶν αισθητικῶν κινησεων· διακρισις τῶν πιθανῶν φαντασιῶν· επιθεωρησις τῆς τῶν ὁλων φυσεως και τῶν κατ᾽ αυτην γινομενων. Τρεῖς σχεσεις· ἡ μεν προς το αιτιον το περικειμενον· ἡ δε προς την θειαν αιτιαν, αφ᾽ ἧς συμβαινει πᾶσι παντα· ἡ δε προς τους συμβιοῦντας.*

23. *Ὁ πονος ητοι τῷ σωματι κακον· ουκοῦν αποφαι-*

Vulg. [1] *Δικαιως ταῦτα.*—[2] *μαλλον.* Non temerè muto; *τω ὶποκειμενω* enim *το μελλον* opponitur = Hoc age; futura Deo permitte.—[3] *η.*—[4] *τοιαυτα παντα*, fatuè. f. *θαπτα*—[5] *παλαι·* Non ita. Quin recenter.—[6] Iste *πολυθεισμος* Stoæ toto cœlo distat, itaque ave, *φαος* uerum!—[7] Flaccida et futilia. *ενεχεται*=hæret, in corporo mens, ut pes in luto. 6 ac 7 ad pag. 70.

νεσθω· η τῃ ψυχῃ· αλλ' εξεςιν αυτῃ, την ιδιαν αιθριαν και γαληνην διαφυλασσειν, και μη ὑπολαμβανειν, ὁτι κακον. Πᾶσα γαρ κρισις, και ὁρμη, και ορεξις, και εκκλισις, ενδον, και ουδεν κακον ὡδε αναβαινει.

24. Εξαλειφε τας φαντασιας, συνεχῶς σεαυτῳ λεγων· νῦν επ' εμοι εςιν, ἱνα εν ταυτῃ τῃ ψυχῃ μηδεμια πονηρια ῃ, μηδε επιθυμια, μηδε ὁλως ταραχη τις· αλλα βλεπων παντα, ὁποῖα εςι, χρῶμαι ἑκαςω κατ' αξιαν. Μεμνησο ταυτης τῆς εξουσιας, (κατ' εφεσιν.)[1]

25. Λαλεῖν, και εν συγκλητῳ, και προς πανθ' ὁντινοῦν, κοσμιως, μη (περιφραδως·)[2] ὑγιεῖ λογῳ χρῆσθαι.

26. Αυλη Αυγουςου· γυνη, θυγατηρ, εγγονοι, προγονοι, αδελφη, Αγριππας, συγγενεῖς, οικεῖοι, φιλοι, Αρειος, Μαικηνας, ιατροι, θυται· ὁλης αυλῆς θανατος. Ειτα επιθι τας αλλας. Παλιν ὁλον γενους θανατον· (μηκεθ') ἑνος ανθρωπου· οἱον Πομπηΐων· κακεῖνο δε το επιγραφομενον τοῖς μνημασιν, ΕΣΧΑΤΟΣ ΤΟΥ ΙΔΙΟΥ ΓΕΝΟΥΣ, επιλογιζεσθαι· ποσα εσπασθησαν οἱ προ αυτῶν[3] ἱνα διαδοχον τινα καταλιπωσιν· ειτα, αναγκη εσχατον τινα γενεσθαι.

27. Συντιθεναι δεῖ τον βιον, (μιαν)[4] κατα μιαν πρᾶξιν· και ει ἑκαστη το ἑαυτῆς παρεχει, ὡς οἱον τε, αρκεῖσθαι· ινα δε το ἑαυτῆς παρεχῃ, ουδε εἱς σε κωλῦσαι δυναται.—'Αλλ' ενστησεται τι εξωθεν.—Ουδεν εις γε το δικαιως και σωφρονως και ευλογιστως· αλλο δε τι (εσωθεν)[5] ενεργητικον, (ὡ) κωλυθησεται; αλλα τῃ προς αυτο το κωλυμα ευαρεστησει, και τῃ επι το διδομενον ευγνωμονι μεταβασει, ευθυς αλλη πρᾶξις αντικαθισταται, εναρμοσουσα εις την συνθεσιν, περι (ἡν)[6] ὁ λογος. 'Ατυφως μεν λαβεῖν, ευλυτως δε αφεῖναι.

28. Ει ποτε εἶδες χεῖρα η ποδα, η κεφαλην αποτετμημενην, χωρις που ποτε απο τοῦ λοιποῦ σωματος

Vulgata. [1] κατα φυσιν· ineptum ac inane, εφεσις Angl. = appeal to higher court.—[2] περιτρανῶς.—[3] μη καθ'. Distracta hæc pro re et ratione recomposui.—[4] Omittit μιαν quod contrarium vulgato sensum, eundemque verum supplet.—[5] ισως.—[6] ἡν pro ἡς· quoad formam fere idem, quoad fundum, totum aliud; περι ἡν, catholicè=which reason ordains; περι ἡς, distributivè=about which I spoke.

κειμενην· τοιουτον ἑαυτον ποιει, οσον εφ' ἑαυτῳ, ὁ μη θελων το συμβαινον, και αποσχιζων (ἑαυτου)· η ὁ ακοινωνητον τι πρασσων. Ἀπερριψαι που ποτε απο της κατα φυσιν ἑνωσεως· επεφυκεις γαρ μερος· νυν δε σεαυτον απεκοψας. Ἀλλ' ὡδε κομψον εκεινο, οτι εξεστι σοι παλιν ἑνωσαι σεαυτον. Τουτο αλλῳ μερει ουδενι θεος επετρεψεν, χωρισθεντι και διακοπεντι, παλιν συνελθειν. Ἀλλα σκεψαι την χρηστοτητα, ᾗ τετιμηκε τον ανθρωπον· και γαρ ἱνα την αρχην μη απορραγῃ απο του ὁλου, επ' αυτῳ εποιησε· και απορραγεντι παλιν επανελθειν, και συμφυναι, και την του μερους ταξιν (αναλαβειν).

29. (Ὡς περι)[1] τας αλλας δυναμεις (εσκευασο)[2] των λογικων σχεδον (οιον)[3] ἡ των (αλογων)[4] φυσις, ὁυτω και ταυτην παρ' αυτης ειληφαμεν. Ον τροπον γαρ εκεινη παν το ενισταμενον και αντιβαινον επιπεριτρεπει και κατατασσει εις την εἱμαρμενην, και μερος ἑαυτης ποιει· ὁυτω και το λογικον ζωον δυναται παν κωλυμα ὑλην ἑαυτου ποιειν· και χρησθαι αυτῳ, εφ' οἱον αν και ὡρμησε.

30. Μη σε συγχειτω ἡ του ὁλου βιου φαντασια. Μη συμπερινοει, επιπονα οἱα και ὁσα πιθανον επιγενησεσθαι· αλλα καθ' ἑκαστον των παροντων επερωτα σεαυτον· Τι του εργου το αφορητον και ανυποιστον; αισχυνθησῃ γαρ ὁμολογησαι. Επειτα αναμιμνησκε σεαυτον, ὁτι ουτε το μελλον, ουτε το παρῳχηκος βαρει σε, αλλα αει το παρον. Τουτο δε κατασμικρυνεται, εαν αυτο μονον περιορισῃς, και απελεγχῃς την διανοιαν, ει προς τουτο ψιλον αντεχειν μη δυναται.

31. Μητι νυν παρακαθηται τῃ του κυριου σορῳ Πανθεια, η Περγαμος; (ετι) δε, τῃ Ἁδριανου, Χαυριας, η Διοτιμος; γελοιον. Τι δε, ει παρεκαθηντο, εμελλον αισθανεσθαι (αυτοι); τι δε, ει ησθανοντο, εμελλον (ἡδεσθαι); τι δε, ει ἡδοντο, εμελλον ουτοι αθανατοι ειναι; Ου και τουτους πρωτον μεν γραιας και γεροντας γενεσθαι ουτως ειμαρτο, ειτα αποθανειν; τι ουν ὑστερον εμελλον

Vulgata. [1] ωσπερ.—[2] εκαστος. Chaotica hæc critici, diu sed frustra, velut cæci Cyclopes in caverna ψηλαφητι tentabant. Nimia jamdudum; ad nauseam usque; quid plura? Habes, quæ arida nuper ossa in corpus verum vivumque constituta.—[3] οσον.—[4] λογικων.

εκεῖνοι ποιεῖν, τουτων αποθανοντων; Γρασος πᾶν τοῦτο και λυθρος εν θυλακῳ. Ει (θανατον αξιον)[1] βλεπειν, βλεπε (εκ ρινων,)[2] φησι, (σοφωτατως).

32. *Δικαιοσυνης κατεξαναςατικην*[a] *αρετην ουχ ὁρῶ εν τῇ τοῦ λογικοῦ ζωου κατασκευῇ· ἡδονῆς δε ὁρῶ, την εγκρατειαν.*

33. *Ἐαν αφελῃς την σην ὑποληψιν περι τοῦ λυπεῖν σε δοκοῦντος, αυτος εν τῷ ασφαλεςατῳ ἑςηκας.—Τίς αυτος; —Ὁ λογος. —Ἀλλ' ουκ ειμι λογος. —Ἔςω· Ουκοῦν ὁ μεν λογος αυτος ἑαυτον μη λυπειτω. Ει δε τι αλλο σοι κακῶς εχει, ὑπολαβετω αυτο περι αὑτοῦ.*

34. *Εμποδισμος αισθησεως, κακον ζωτικῆς φυσεως. Εμποδισμος ὁρμῆς, (ορεξεως),*[4] *κακον (νευρωτικης)*[5] *φυσεως. Εςι δε τι αλλο (ὁμοιωσεως)*[6] *εμποδιςικον; κακον τῆς (πεπτικης)*[7] *κατασκευῆς. Ουτω τοινυν εμποδισμος νοῦ, κακον νοερᾶς φυσεως. Παντα δη ταῦτα επι σεαυτον μεταφερε. Πονος, ἡδονη, ἁπτεται σου; οψεται ἡ αισθησις. Ὁρμησαντι ενςημα εγενετο; Ει μεν ανυπεξαιρετως ὡρμας, ηδη ὡς λογικοῦ κακον. Ει (δ' ες)*[8] *το κοινον (υπολαμβανεις)*[9] *ουπω βεβλαψαι, ουδε εμπεποδισαι. Τα μεντοι τοῦ νοῦ ιδια ουδεις αλλος (εξωθεν)*[10] *εμποδιζει.*

> *Τουτου γαρ ου πῦρ (Ζηνος) ου σιδηρος, ου*
> *Τυραννος, ου βλασφημι', ὁτιουν ἁπτεται.*
> *(Ο τ' αν)*[11] *γενηται, σφαιρα (κυκλεῖ, εντελης)*[12] *μενει.*

35. *Ουκ ειμι αξιος εμαυτον λυπεῖν· ουδε γαρ αλλον πωποτε ἑκων ελυπησα. Ευφραινει αλλον αλλο· εμε δε, εαν ὑγιες εχω το ἡγεμονικον· μη αποςρεφομενον μητε ανθρωπον τινα, μητε τι τῶν ανθρωποις συμβαινοντων· αλλα πᾶν ευμενεσιν οφθαλμοῖς ὁρῶν τε και δεχομενον· και χρωμενον ἑκαςῳ κατ' αξιαν.*

Vulgata. [1]*δυνασαι οξυ·* Hæc brutè deformata ad rationem denuò reduxi; *φησι*, i. e. Comicus quidam, cui mors nauci.—[2]*κρινων.*—[4]*ὁμοιως εμπ. και·* Quorsum hæc tam putida? Plana ut supra dedi, ac prospera omnia. Physica cum criticâ ita in vitam conspirat.—[5]*ζωτικῆς.*—[6]*ὁμοιος.*—[7]*φυτικῆς.*—[8]*δε.*—[9]*λαμβανεις.*—[10]*εισωθεν.*—[11]*οταν.*—[12]*κυκλοτερης·* Hanc periodum e solutâ ut hactenus, quinimmo lacerè se trahenti, velut serpens Virgilii, in numeros suos revindico; omisso *ουχ* ante *ὁτιουν.*

[a] Melius *καταντιςατ.*

36. Τοῦτον (ὃν βιοῦ)[1] χρονον σεαυτῷ χαρισαι. Οἱ την ὑςεροφημιαν μᾶλλον διωκοντες ου λογιζονται, οτι αλλοι τοιοῦτοι μελλουσιν εκεῖνοι ειναι, οἷοι εισιν οὗτοι, οὓς βαροῦνται· κακεῖνοι δε θνητοι. Τι δε ὁλως προς σε, αν εκεῖνοι φωναῖς (σε) τοιαυταις[a] απηχῶσιν, η ὑποληψιν τοιαυτην περι σοῦ εχωσιν;

37. Αρον με και βαλε, ὁπου θελεις. Εκεῖ γαρ ἑξω τον εμον δαιμονα ἱλεων· τοῦτ' εςιν, αρκουμενον, ει εχοι και ενεργοιη κατα το ἑξῆς τῇ ιδιᾳ κατασκευῇ. Αρα τοῦτο αξιον, ἱνα δἰ αυτο κακῶς μοι εχῃ ἡ ψυχη, και χεῖρων ἑαυτῆς ῃ· ταπεινουμενη, ορεγομενη, συγχεομενη, πτυρομενη; Και τι εὑρησεις τουτου αξιον; Ανθρωπῳ ουδενι συμβαινειν τι δυναται, ὁ ουκ εςιν ανθρωπικον συμπτωμα· ουδε βοϊ, ὁ ουκ εςι βοϊκον· ουδε αμπελῳ, ὁ ουκ εςιν αμπελικον· ουδε λιθῳ, ὁ ουκ εςι λιθῳ ιδιον·[b] Ει ουν ἑκαςῳ συμβαινει, ὁ και ειωθε, και πεφυκε, τι αν δυσχεραινοις; ου γαρ αφορητον σοι εφερεν ἡ κοινη φυσις. Ει μεν δια τι τῶν εκτος λυπῇ, ουκ εκεῖνο σοι ενοχλεῖ, αλλα το σον περι αυτοῦ κριμα. Τοῦτο δε ηδη εξαλεῖψαι επι σοι εςιν. Ει δε λυπεῖ σε τι τῶν εν τῇ σῇ διαθεσει, τις ὁ κωλυων διορθῶσαι το δογμα; (ὁμοιως) δε και ει λυπῇ, ὁτι ουχι τοδε τι ενεργεῖς, ὑγιες σοι φαινομενον, τι ουχι μᾶλλον ενεργεῖς, η λυπῇ;—Αλλα ισχυροτερον τι ενιςαται.—Μη ουν λυποῦ· ου γαρ παρα σε ἡ αιτια τοῦ μη ενεργεῖσθαι.—Αλλα ουκ αξιον ζῇν, μη ενεργουμενου τουτου.—Απιθι ουν εκ τοῦ ζῇν ευμενης; (ευ μεν ουν, ὁς αν ῇ, κα ιευ) ενεργῶν αποθνησκει, (ει) ἁμα ἱλεως τοῖς ενιςαμενοις.

38. Μεμνησο, ὁτι ακαταμαχητον γινεται το ἡγεμονικον, ὁταν εις ἑαυτο συστραφεν αρκεσθῇ ἑαυτῶ μη ποιοῦντι ὁ μη θελει, καν αλογως παραταξηται. Τι ουν, ὁταν και μετα λογου, και περιεσκεμμενως, κρινῃ περι τινος; Δια τοῦτο ακροπολις εςιν ἡ ελευθερα παθῶν διανοια· ουδεν γαρ οχυρωτερον εχει ανθρωπος, εφ' ὁ καταφυγων αναλωτος λοιπον αν ειη. Ὁ μεν ουν μη ἑωρακως τοῦτο, αμαθης· ὁ δε ἑωρακως και μη καταφευγων, (αςοχης).[3]

39. Μηδεν πλεον σαυτῷ λεγε, ὧν αἱ προηγουμεναι

Vulgata. [1] ιδου.—[2] η και ὁ.—[3] ατυχης· sed id non casu, quin suâ culpâ; αςοχος in Polybio, a quo multa M. Ant. = aimless, heedless.—[b] λιθικον.

[a] A melius διδακταις et διδακτην.

φαντασιαι αναγγελλουσιν. Ηγγελται, ὁτι ὁ δεῖνα σε κακῶς λεγει; Ηγγελται τοῦτο· το δε, ὁτι βεβλαψαι, ουκ ηγγελται. Βλεπω, ὁτι νοσεῖ το παιδιον(;) βλεπω· ὁτι δε κινδυνευει, ου βλεπω. Οὑτως οὖν μενε αει επι τῶν πρωτων φαντασιῶν, και μηδεν αυτος ενδοθεν επιλεγε, και ουδεν σοι γινεται· μᾶλλον δε (απαλλαγου),[1] ὡς γνωριζων ἑκαϛα τῶν εν τῷ κοσμῳ συμβαινοντων· Σικυος πικρος· αφες. Βατοι εν τῇ ὁδῷ· εκκλινον. Αρκεῖ. Μη προσεπειπῃς· Τι δε και εγινετο ταυτα εν τῷ κοσμῳ; επει καταγελασθησῃ ὑπο ανθρωπου φυσιολογου· ὡς αν και ὑπο τεκτονος και σκυτεως γελασθειης, καταγινωσκων,[a] ὁτι εν τῷ εργαϛηριῳ ξεσματα και περιτμηματα τῶν κατασκευαζομενων ὁρᾷς. Καιτοι εκεῖνοι γε εχουσι ποῦ αυτα ῥιψωσιν· ἡ δε των ὁλων φυσις εξω ουδεν εχει· αλλα το θαυμαϛον τῆς τεχνης (ταυτῇ παριϛησιν)[2] ὁτι, περιορισασα ἑαυτην, πᾶν το ενδον, διαφθειρεσθαι και γηρασκειν και αχρηϛον ειναι δοκοῦν, εις ἑαυτην μεταβαλλει· και ὁτι παλιν αλλα νεαρα εκ τουτων αυτῶν ποιεῖ· ἱνα μητε ουσιας εξωθεν χρῄζῃ, μητε, οπου εκβαλῃ τα σαπροτερα, προσδεηται. Αρκεῖται ουν και χωρᾳ τῇ ἑαυτῆς, και ὑλῃ τῇ ἑαυτῆς, και τεχνῃ τῇ ιδιᾳ.

40. *Μητε εν ταῖς πραξεσιν επισυρειν· μητε εν ταῖς ὁμιλιαις φυρειν· μητε εν ταῖς φαντασιαις αλᾶσθαι; μητε τῇ ψυχῇ καθαπαξ συνελκεσθαι, η εκθορ(υβει[3])σθαι· μητε εν τῷ βιῳ ασχολεῖσθαι. Κτεινουσι, κρεανομοῦσι, καταραις ελαυνουσι. Τι ουν ταῦτα προς το την διανοιαν μενειν καθαραν, φρενηρη, σωφρονα, δικαιαν; οἱον ει τις, παραϛας πηγῇ διαυγεῖ και γλυκειᾳ, βλασφημοιη αυτην· ἡ δε ου παυεται ποτιμον αναβλυουσα· κα'ν πηλον εμβαλῃ, καν κοπριαν, ταχιϛα διασκεδασει αυτα, και εκκλυσει, και ουδαμῶς βαφησεται. Πῶς ουν πηγην αενναον ἑξεις, και μη φρεαρ; (Ρυου)[4] σεαυτον πασης ὡρας εις ελευθεριαν, μετα τοῦ ευμενῶς, και ἁπλῶς, και αιδημονως.*

Vulgata. [1] *επιλεγε.* Scribæ inertis ac oscitantis iteratio; *απαλ* — declina, quod idem sequentia; *αφες εκκλινον.*— [2] *Ταντες εστιν.*—[3] *Φυου* Veritatem, ita obviam, quasi è puteo proximo exhaustim elaborare, connisi sunt critici, irrite operosi. Ipsa vix velata, idque perspicuè, ob oculos erat. Miram amentiam!

[a] Malim *καταγογγυζων.*

41. Ὁ μεν μη ειδως, (ες) ὁ τι (ὁ τις) εςι (εσκευασμενος)[1] ουκ οιδεν, (ὁποιος)[2] εςιν. Ὁ δε μη ειδως, προς ὁ τι (ὁ τις) πεφυκεν, ουκ οιδεν, ὁςις εςιν, ουδε (δια) τι (εσκευασμενος.)[3] Ὁ δε (εν ἀυτω) ἑν τι τουτων απολιπων, ουδ' αν, προς ὁ τι αυτος πεφυκεν, ειποι. Τις ουν φαινεται σοι ὁ τῶν κροτουντων επαινος, (χειρων η ποδων),[4] οι ουθ' (οποιοι)[5] εισιν, ουτε οἱτινες εισι, γινωσκουσι;

42. Επαινεῖσθαι θελεις ὑπο ανθρωπου, τρις τῆς ὡρας ἑαυτῷ καταρωμενου; αρεσκειν θελεις ανθρωπῳ, ὁς ουκ αρεσκει ἑαυτῷ; Αρεσκει ἑαυτῷ, ὁ μετανοῶν εφ' ἁπασι σχεδον, οἱς πρασσει;

43. Μηκετι μονον συμπνεῖν τῷ περιεχοντι αερι, αλλ' ηδη και συμφρονεῖν τῷ περιεχοντι παντα νοερῷ. Ου γαρ ηττον ἡ νοερα δυναμις παντη κεχυται και διαπεφοιτηκε τῷ σπᾶσαι[a] βουλομενῳ, ηπερ ἡ αερωδης τῷ αναπνεῦσαι δυναμενῳ.

44. Γενικῶς μεν ἡ κακια ουδεν βλαπτει τον κοσμον· ἡ δε κατα μερος, ουδεν βλαπτει (τον ουκ αιτιον.)[7] Μονῳ δε βλαβερα εςι (τω αιτιω);[8] ῳ επιτετραπται και απηλλαχθαι αυτῆς, ὁποταν πρῶτον οὑτω θεληση.

45. Τῷ εμῷ προαιρετικῷ το τοῦ πλησιον προαιρετικον επισης αδιαφορον εςιν, ὡς και το πνευματιον αυτοῦ και το σαρκιδιον. Και γαρ ει ὁτι μαλιςα αλληλων ενεκεν γεγοναμεν, ὁμως τα ἡγεμονικα ἡμῶν ἑκαςον την (ιδεαν)[7] κυριαν εχει· επει τοι εμελλεν ἡ τοῦ πλησιον κακια εμοῦ κακον ειναι· οπερ ουκ εδοξε τῷ θεῷ· ἱνα μη επ' αλλῳ ᾖ το εμε ατυχεῖν.

46. Ὁ ἡλιος κατακεχυσθαι δοκεῖ, και παντη γε κεχυται· ου μην εκκεχυται. Ἡ γαρ χυσις αὑτη τασις εςιν. Ακτῖνες γοῦν αἱ αυγαι αυτοῦ απο τοῦ Εκτεινεσθαι

Vulgata. [1] κοσμος.—[2] οπου.—[3] εστι κοσμος.—[4] επαινον φευγων η διωκων. Sectio hæc, si unquam ulla, singularis est; ac pro Grammaticâ transfiguratione, prœ illâ Rafaelis graphicâ, spectanda. Quantum ars illic sursum, tantum hic inertia deorsum. Bis jacet in præceps, &c. Quid plura a me. Ipse judicaueris. Unum id monitum velim, tria ista inter se opponi, ες ad προς ac δια, ὁποιος ad ὁςις, εσκευασ ad πεφυκ. Ea tripartita ratio in immensum exspatiat; ego hic arctissimè coerceor. Ecce campum; decurrat, qui curat.—[5] τον ετερον.—[6] τουτῳ.—[7] ιδιαν. fors. αιτιαν.—[a] malim ασπασασθαι.

λεγονται. Ὁποῖον δε τι εςιν ακτις, ιδοις αν, ει δια τινος ςενοῦ εις εσκιασμενον (οικον)[1] *το αφ' ἡλιου φῶς εισδυομενον θεασαιο· (δια)τεινεται γαρ κατ' ευθυ, και ὥσπερ (επερειδεται)*[2] *δη προς το ςερεμνιον, ὁ τι αν απαντηση, διεῖργον τον επεκεινα αερα· ενταῦθα δε εςη· και ου κατωλισθεν ουδε επεσε. Τοιαυτην οὖν την χυσιν και διαχυσιν τῆς διανοιας εἶναι χρη, μηδαμῶς εκχυσιν· αλλα τασιν· και προς τα απαντῶντα κωλυματα μη βιαιον μηδε ῥαγδαιαν την επερεισιν ποιεῖσθαι· μηδε μην καταπιπτειν· αλλα ἱστασθαι, και επιλαμπειν το δεχομενον. Αυτο γαρ ἑαυτο στερησει τῆς αυγῆς, το μη παραπεμπον αυτην.*

47. *Ὁ τον θανατον φοβουμενος, ητοι αναισθησιαν φοβεῖται, η αισθησιν ἑτεροιαν. Αλλ' ειτε ουκετι αισθησιν, ουδε κακοῦ τινος αισθηση· ειτε αλλοιοτεραν αισθησιν κτηση, αλλοῖον ζῶον εση, και τοῦ ζῆν ου παυση.*

48. *Οἱ ανθρωποι γεγονασιν αλληλων ἑνεκεν. Διδασκε ουν, η φερε.*

49. *Αλλως βελος, αλλως νοῦς φερεται. Ὁ μεντοι νοῦς, και ὁταν ευλαβῆται, και ὁταν περι την σκεψιν στρεφηται, φερεται κατ' ευθυ ουδεν ἡττον, και επι το προκειμενον.*

50. *Εισιεναι εις το ἡγεμονικον ἑκαςου· παρεχειν δε και ἑτερῳ παντι εισιεναι εις το (σεαυτου) ἡγεμονικον.*

ΒΙΒΛΙΟΝ Θ.

1. *Ο αδικῶν, ασεβεῖ. Τῆς γας τῶν ὁλων φυσεως κατεσκευακυιας τα λογικα ζῶα ἑνεκεν αλληλων. ὥστε ωφελεῖν μεν αλληλα κατ' αξιαν, βλαπτειν δε μηδαμῶς· ὁ το βουλημα ταυτης παραβαινων, ασεβεῖ δηλονοτι εις την πρεσβυτατην τῶν θεῶν. Και ὁ ψευδομενος (δη) ασεβεῖ περι την αυτην θεον. Ἡ γαρ τῶν ὁλων φυσις, οντων*

Vulgata. [1] *οἶκον.*—[2] *διαιρεῖται.*

εςι φυσις. Τα (δη γαρ)[1] οντα προς τα ὑπαρχοντα παντα οικειως (σοιχιζει επ᾽ ιδεαν·[a] δι᾽ ἁ)[2] και αληθεια αὐτη ονομαζεται, (επει) τῶν αληθῶν ἁπαντων πρωτη αιτια εςιν. Ὁ μεν οὖν ἑκων ψευδομενος ασεβεῖ, καθοσον ἐξαπατῶν αδικεῖ· ὁ δε (αδικων) καθοσον διαφωνεῖ τῇ τῶν ὁλων φυσει· και καθοσον ακοσμεῖ, μαχομενος τῇ τοῦ κοσμου φυσει· μαχεται γαρ ὁ επι ταναντια τοις αληθεσι φερομενος παρ᾽ ἑαυτον· αφορμας γαρ προειληφει παρα τῆς φυσεως· ὧν αμελησας ουχ οἱος τε εςι νῦν διακρινειν τα ψευδῆ απο τῶν αληθῶν. Και μην ὁ τας ἡδονας ὡς αγαθα διωκων, τους δε πονους ως κακα φευγων, ασεβεῖ. Αναγκη γαρ τον τοιοῦτον μεμφεσθαι πολλακις τῇ κοινῇ φυσει, ὡς παρ᾽ αξιαν τι απονεμουσῃ τοῖς φαυλοις και τοῖς σπουδαιοις· δια το πολλακις τους μεν φαυλους εν ἡδοναῖς εἶναι, και τα ποιητικα τουτων κτᾶσθαι· τους δε σπουδαιους πονῳ, και τοῖς ποιητικοῖς τουτου περιπιπτειν. Ετι δε ὁ φοβουμενος τους πονους, φοβηθησεται ποτε και τῶν εσομενων (τινα) εν τῷ κοσμῳ· τοῦτο δε ηδη ασεβες. Ὁ τε διωκων τας ἡδονας, ουκ αφεξεται τοῦ αδικεῖν· τοῦτο δε εναργῶς ασεβες. Χρη δε, προς ἁ ἡ κοινη φυσις επισης εχει—ου γαρ αν αμφοτερα εποιει, ει μη προς αμφοτερα επισης εἶχε—προς ταῦτα και τους τῇ φυσει βουλομενους ἑπεσθαι, ὁμογνωμονας οντας, επισης διακεῖσθαι. Ὁςις οὖν προς πονον και ἡδονην, η θανατον και ζωην, η δοξαν και αδοξιαν, οἷς επισης ἡ τῶν ὁλων φυσις χρῆται, αυτος ουκ επισης εχει, δῆλον, ὡς ασεβεῖ. Λεγω δε το χρῆσθαι τουτοις επισης την κοινην φυσιν, αντι (του κατ᾽ αυτην[b])[3] συμβαινειν επισης· (κατα τα τυχοντα τοις εξ αυτης)[4] γινομ. και επιγ. ὁρμῇ τινι αρχαιᾳ τῆς προνοιας· καθ᾽ ἡν απο τινος (αναρχιας)[5] ὡρμησεν επι τηνδε την

Vulgata. [1] δε γε.—[2] εχει. Ετι δε· Critici hæc, ut sæpe difficilia, ignorant; ne, ut vipera, frustra in limam; et quæ Desperant tractata nitescere posse, relinqunt. Ita illi pro more suo. Ego, pro debito meo, quæ legenda propono, ea intelligenda procuro. Ideoque hæc, e turbidâ colluvie derivavi in λογικον οχετον, pertinentem ad stoica principia.—[3] τοῦ.—[4] του κατα το. transposui κατα το εξης ad rat. rei. nodum habes sæpe frustra sollicitatum, nunc absolutum.—[5] αρχῆς.

[a] forsan αληθειαν; [b] forsan κατ᾽ αιτια.

διακοσμησιν· συλλαβουσα τινας λογους των εσομενων, και δυναμεις γονιμους αφορισασα ὑποςασεων τε, και μεταβολων, και διαδοχων (τευκτικων).[1]

2. *Χαριεςερον μεν αν ἦν ανδρος, αγευςον ψευδολογιας και πασης ὑποκρισεως και τρυφης και τυφου γενομενον, εξ ανθρωπων απελθειν. Το δ᾽ (αυ)*[2] *κορεσθεντα γε τουτων (αποπλευσαι)*[3] *δευτερος πλους. Ἠ προῃρησαι προσκαθῆσθαι τῃ κακιᾳ; και ουπω σε ουδε ἡ πειρα πειθει φευγειν εκ του λοιμου; λοιμος γαρ διαφθορα διανοιας πολλῳ γε μαλλον, ηπερ ἡ του περικεχυμενου τουτου πνευματος τοιαδε τις δυσκρασια και τροπη. Αὑτη μεν γαρ ζωων λοιμος, καθο ζωα, εςιν· εκεινη δε ανθρωπων, καθο ανθρωποι.*

3. *Μη καταφρονει θανατου, αλλα εναρεστει αυτῳ· ὡς και τουτου ἑνος οντος, ὡν ἡ φυσις εθελει. Οἱον γαρ εςι το νεασαι, και το γηρασαι, και το αυξησαι, και το ακμασαι, και οδοντας, και γενειον, και πολιας ενεγκειν· και σπειραι, και κυοφορησαι, και αποκυησαι, και τα αλλα τα φυσικα ενεργηματα, ὁσα αἱ του βιου ὡραι φερουσι, τοιουτο και το διαλυθηναι. Τουτο μεν ουν κατα ανθρωπον· (εν δε) λελογισμενον, μη (δυσχερως,)*[4] *μηδε ὡστικως, μηδε ὑπερηφανως προς τον θανατον εχειν· αλλα περιμενειν ὡς μιαν των φυσικων ενεργειων· ὡς νυν περιμενεις, ποτε εμβρυον εκ της γαςρος της γυναικος σου εξελθῃ, οὑτως εκδεχεσθαι την ὡραν, εν ᾗ το ψυχαριον σου του ελυτρου τουτου εκπεσειται. Ει δε και ιδιωτικον παραπηγμα ἁψικαρδιον εθελεις, μαλιστα σε ευκολον προς τον θανατον ποιησει ἡ επιςασις ἡ επι τα ὑποκειμενα, ὡν μελλεις αφιςασθαι· και μεθ᾽ οἱων ηθων—(ὡν ουκετ᾽ εςαι ἡ ᾽ςι᾽ εμπεφυρμενη.)*[4]*—Προσκοπτεσθαι μεν γαρ αυτοις ἡκιςα δει, αλλα και κηδεσθαι και πρᾳως φερειν· μεμνησθαι μεντοι, ὁτι ουκ απ᾽ ανθρωπων ὁμοδογματουντων σοι ἡ απαλλαγη*

Vulgata. [1] *τοιουτων.*—[2] *ουν.*—[3] *αποπνευσαι.*—[4] *ουκετι εσται ἡ εμπεφυρμενη.* Mille super hâc lacunâ conjecturæ, quæ jacturæ utique meræ, perinde ac si in eam serbonianam. Qui vult, in eas—irruat ac frustra ferro diverberet umbras—ego non pugno pro dubiis, sed certa propono. Comici versus est. Scriba hæsit, ad *᾽ςι᾽*=*ἑςια*, quod ignoravit ac abjecit. Indus, ait Othello, Margaritam. Ita solutâ compage, perit sensus. *ἑςια*— hearth, household, home.

εςαι. Τοῦτο γαρ μονον, ειπερ αρα, ανθεῖλκεν αν και κατεῖχεν εν τῷ ζῆν, ει συζῆν εφεῖτο τοῖς τα αυτα δογματα (προηρημενοις.)[1] Νῦν δε ὁρᾷς, ὁσος ὁ κοπος εν τῇ διαφωνιᾳ τῆς συμβιωσεως· ὡςε ειπεῖν, Θᾶττον ελθοις, ὦ θανατε, μη που και αυτος (επιλαβωμαι) εμαυτοῦ.

4. Ὁ ἁμαρτανων, ἑαυτῷ ἁμαρτανει· ὁ αδικῶν, ἑαυτον αδικεῖ· κακον ἑαυτον ποιῶν. Ἀδικεῖ πολλακις ὁ μη ποιῶν (ὁ δει), ου μονον ὁ ποιῶν (ὁ μη δει).

5. Ἀρκεῖ ἡ παροῦσα ὑποληψις (καταληκτικη)[2] και ἡ παροῦσα πρᾶξις κοινωνικη, και ἡ παροῦσα διαθεσις εναρεςικη προς πᾶν το παρα τῆς εκτος αιτιας συμβαῖνον. Ἐξαλεῖψαι φαντασιαν·[a] στῆσαι ὁρμην· σβεσαι ορεξιν· εφ' ἑαυτῷ εχειν το ἡγεμονικον.

6. Εις μεν τα αλογα ζῶα μια ψυχη διηρηται· (ἑις)[3] δε (λογος) τα λογικα μιᾳ νοερᾳ ψυχῃ (νεμει μερισι).[4] Ὥσπερ και μια γῆ εςιν ἁπαντων τῶν γεωδῶν, και ἑνι φωτι ὁρῶμεν, και ἑνα αερα αναπνεομεν, ὁσα ὁρατικα και εμψυχα. Παντα ὁσα κοινου (γενους)[5] μετεχει προς το ὁμογενες σπευδει. Το γεῶδες πᾶν ῥεπει επι γῆν, το ὑγρον πᾶν συῤῥουν, το αερῶδες ὁμοιως· ὡςε χρηζειν τῶν διειργοντων (δια) βιας. Το πῦρ ανωφερες· (ες μεν ιδια)[6] το ςοιχειῶδες (επιῤῥεπον· παν δε το πυροεν ες ταυτα· του πυρος)[7] προς το συνεξαπτεσθαι ἑτοιμον (οντος) οὑτως,

Vulgata. [1] περιπεποιημενοις.—[2] καταληπ. Comprehensiva, sed καταληκτικη—definitiva, hic poscitur.—[3] ει.—[4] μεμερισται et putidè redundat, et conturbat duo genera, quæ mea lectio distribuit.—[5] τινος.—[6] μεν, δια. Hanc, ut sine uado, voraginem declinant Com.

For commentators each dark passage shun
And hold a farthing rushlight to the sun!

Ego, ni fallar, Marcum A. restitui. Scribam certè quisquilias suas pro hiulcâ hâc sepe obtrudentem exterminavi, nec injuriâ. Stulta enim erga simiam reverentia. Plerumque, fateor, in codice, pro scribâ presumitur, hic neutiquam. Qui millies nummum suum plumbeum pro Stoæ aureo obtulit, cur diutius eum moramur? Quæ detestanti invidia? Proinde huic rei hâc ratione consului. Quicquid profert scriba si suam duntaxat notam improbam, ac non Marci Anton. insignem exhibet, nihili, quasi αδοκιμον, estimo; taliaque omnia, ut κειμενα εν πεσω, et pro placito cuique in probum mutanda, censeo ac tracto. Ita, spero, in opt. consuluero. Istud hic dictum, ubique valeat. — [7] πῦρ· παντι δε πυρι ενταυθα. a. f. ὑφαντικην.

ὡςε και πᾶν το ὑλικον, το ολιγῳ ξηροτερον, ενεξαπτον ειναι· δια το ελαττον εγκεκρᾶσθαι αυτῳ το κωλυτικον προς εξαψιν. Και τοιννν πᾶν το κοινῆς νοερᾶς φυσεως μετοχον προς το συγγενες ὁμοιως σπευδει· η και μᾶλλον. Ὁσῳ γαρ εςι κρεῖττον παρα τα αλλα, τοσουτῳ και προς το συγκιρνᾶσθαι τῳ οικειῳ και συγχεῖσθαι ἑτοιμοτερον. Ευθυς γοῦν επι μεν τῶν αλογων εὑρεθη σμηνη, και αγελαι, και νεοσσοτροφιαι, και (ὁμοιογενων)[1] ερωτες· ψυχαι γαρ ηδη ἦσαν ενταῦθα, και το συναγωγον εν τῳ κρειττονι (επιτονοτερον)[2] εὑρισκετο· οἷον ουτε επι φυτῶν ἦν, ουτε επι λιθων, η ξυλων. Επι δε τῶν λογικῶν ζωων, πολιτεῖαι, και φιλιαι, και οἶκοι, και συλλογοι· και εν πολεμοις συνθῆκαι και ανοχαι. Επι δε τῶν ετι κρειττονων, και εκ διεςηκοτων[a] τροπον τινα ἑνωσις ὑπεςη· οἱα επι τῶν αςρων. Οὑτως ἡ επι το κρεῖττον επαναβασις συμπαθειαν και εν διεςῶσιν εργασασθαι δυναται. Ὁρα οὖν το νῦν γινομενον. Μονα γαρ τα νοερα νῦν επιλεληςαι τῆς προς αλληλα σπουδῆς και συννευσεως· και το συῤῥουν ὧδε μονον ου βλεπεται. Ἀλλ᾽ ὁμως καιτοι φευγοντες περικαταλαμβανονται· κρατεῖ γαρ ἡ φυσις· οψει δε, ὁ λεγω, παραφυλασσων. Θᾶσσον γοῦν εὑροι τις αν γεῶδες τι μηδενος γεωδους προσαπτομενον, ηπερ ανθρωπον ανθρω(πικου)[3] απεσχισμενον.

7. *Φερει καρπον και ανθρωπος, και θεος, και ὁ κοσμος· εν ταῖς οικειαις ὡραις ἑκαςα. Ει δε ἡ συνηθεια κυριως τετριφεν επι αμπελου και τῶν ὁμοιων, ουδεν τοῦτο. Ὁ λογος δε και κοινον και ιδιον καρπον εχει· και γινεται εξ αυτοῦ τοιαῦτ᾽ (ακολουθητικα,)[4] ὁποῖον αυτος (εστιν).[5]*

8. *(Τον αλογον) ει μεν δυνασαι, μεταδιδασκε· ει δε μη, μεμνησο, ὁτι προς τοῦτο ἡ ευμενεια σοι δεδοται. Και οἱ θεοι δη ευμενεῖς τοῖς τοιουτοις εισιν· εις ενια δε και συνεργοῦσιν· εις ὑγιειαν, εις πλοῦτον, εις δοξαν· οὑτως εισι χρηςοι. Εξεςι δε και σοι· η ειπε, τις ὁ κωλυων;*

9. *Πονει, μη ὡς αθλιος· μηδε ὡς ελεεῖσθαι, η θαυμαζεσθαι θελων· αλλα μονον ἑν θελε· κινεῖσθαι και ισχεσθαι. ὡς ὁ πολιτικος λογος αξιοῖ. Σημερον εξῆλθον*

Vulgata. [1] *οἷον.* — [2] *επιτεινομενον.* — [3] *πικου.* — [4] *ἑτερα.* — [5] *εστιν ὁ λογος.*

[a] forsan *εκ Θειου εςηκοτων.*

πασης περιϛασεως· μᾶλλον δε εξεβαλον πᾶσαν περιϛασιν· εξω γαρ ουκ ἦν, αλλα ενδον εν ταῖς ὑποληψεσι. Παντα (τ'αλογα,)[1] *συνηθη μεν τῇ πειρᾳ· εφημερα δε τῷ χρονῳ· ῥυπαρα δε τῇ ὑλῃ· (ταυτά)*[2] *νῦν, οἷα επ' εκεινων, οὓς κατεθαψαμεν.*

10. *Τα πραγματα εξω θυρῶν ἑϛηκεν, αυτα εφ' ἑαυτῶν· μηδεν μητε ειδοτα περι (αιτιων,)*[3] *μητε αποφαινομενα. Τι οὖν αποφαινεται περι αυτῶν; το ἡγεμονικον. Ουκ εν πεισει, αλλ' ενεργειᾳ, το τοῦ λογικοῦ πολιτικου ζωου κακον και αγαθον· ὡσπερ ουδε ἡ αρετη και κακια αυτοῦ εν πεισει, αλλ' ενεργειᾳ. Τῷ αναῤῥιφεντι λιθῳ ουδεν κακον το κατενεχθῆναι, ουδε αγαθον το ανενεχθῆναι.*

11. *Διελθε εσω εις τα ἡγεμονικα αυτῶν· και οψει, τινας κριτας φοβῇ, οἱους και περι αὑτῶν οντας κριτας.*

12. *Παντα εν μεταβολῇ. Και αυτος συ εν διηνεκεῖ αλλοιωσει, και (καταλυτικῇ)*[4] *φθορᾳ· και ὁ κοσμος δη ὁλος.*

13. *Το αλλου ἁμαρτημα εκεῖ δεῖ καταλιπεῖν.*

14. *Ενεργειας απολῆξις, ὁρμῆς και ὑποληψεως παῦλα, και οἱον θανατος. Ουδεν κακον. Μετιθι νῦν επι ἡλικιαν· οἷον την παιδικην, την τοῦ μειρακιου, την νεοτητα, το γῆρας· και γαρ τουτων πᾶσα μεταβολη, θανατος. Μητι δεινον; μετιθι νῦν επι βιον τον ὑπο τῷ παππῳ· εἶτα τον ὑπο τῇ μητρι· εἶτα τον ὑπο τῷ πατρι· και αλλας δε πολλας διαφορας και μεταβολας και απολῆξεις εὑρισκων, επερωτα σεαυτον, Μητι δεινον; Οὑτω τοινυν ουδε ἡ τοῦ ὁλου βιου λῆξις, και παῦλα, και μεταβολη.*

15. *(Προσεχε)*[5] *επι το σεαυτοῦ ἡγεμονικον, και το τοῦ ὁλου, και το τουτου. Το μεν σεαυτοῦ, ἱνα νοῦν δικαϊκον αυτο ποιησῃς· το δε τοῦ ὁλου, ἱνα συμμνημονευσῃς, τινος μερος εἶ· το δε τουτου, ἱνα επιϛησῃς, ποτερον (αγνοιᾳ η γνωμῃ)· και ἁμα λογισῃ, ὁτι συγγενες. Ὡσπερ (γαρ) αυτος συ πολιτικοῦ συϛηματος συμπληρωτικος ει, οὑτω και πασα πρᾶξις σου συμπληρωτικη εϛω ζωῆς πολιτικῆς. Ἡτις εαν οὖν πρᾶξις σου μη εχῃ την αναφοραν, ειτε προσεχῶς, ειτε ποῤῥωθεν, επι το κοινωνικον τελος, αὑτη διασπᾷ τον βιον, και ουκ εᾷ ἑνα εἶναι, και ϛασιωδης εϛιν·*

Vulgata. [1] *ταῦτα.* — [2] *Παντα.* — [3] *αὑτῶν.* — *κατα τι.* — *Τρεχε.*

ὥσπερ εν δημῳ ὁ, το καθ' αὑτον μερος, διϊςαμενος απο τῆς (πολιτικης)[1] συμφωνιας.

16. Παιδιων (οργανα),[2] και παιγνια, και πνευματια νεκρους βαςαζοντα· ὡςε εναργεςερον[a] προσπεσεῖν το τῆς Νεκυιας.

17. Ιθι επι την ποιοτητα τοῦ αιτιου, και απο τοῦ ὑλικοῦ αυτο περιγραψας θεασαι· εἶτα και τον χρονον περιορισον, ὁσον πλεῖςον ὑφιςασθαι πεφυκε τοῦτο το ιδιως ποιον. Ανετλης μυρια, δια το μη αρκεῖσθαι τῷ σῷ ἡγεμονικῷ, ποιοῦντι (τα αὑτοῦ)[3] οἷα κατεσκευαςαι· αλλα ἁλις. Ὁταν αλλος ψεγῃ σε, (μη)[4] μισῇ· μη (λοιδορητικα αντιτινε)[5] τοις εκφωνῶσιν· ερχου επι τα ψυχαρια αυτῶν· διελθε εσω, και ιδε, ποῖοι τινες εισιν. Οψει, ὁτι ου δεῖ σε σπᾶσθαι, ἱνα τουτοις τι ποτε περι σοῦ δοκῇ. Ευνοεῖν μεντοι αυτοῖς δεῖ· φυσει γαρ φιλοι. Και οι θεοι δε παντοιως αυτοῖς βοηθοῦσι· δι' ονειρων, δια μαντειῶν· προς ταῦτα (μηνυται,)[6] προς, ἁ εκεῖνοι διαφερονται.

18. Ταυτά εςι τα τοῦ κοσμου εγκυκλια· ανω κατω, εξ αιῶνος εις αιῶνα. Και ητοι εφ' ἑκαςον ὁρμᾷ ἡ τοῦ ὁλου διανοια· ὁπερ ει εςιν, αποδεχου το εκεινης ὁρμητον· η ἁπαξ ὡρμησε, τα δε λοιπα κατ' επακολουθησιν (κατεκτεινει)·[7] τροπον γαρ τινα ατομοι, η αμερῆ· το δε ὁλον, ειτε Θεος, εὖ εχει παντα· ειτε (αυτο) εικῇ, μη και συ εικῇ. Ηδη παντας ἡμᾶς γῆ καλυψει· επειτα και αυτη μεταβαλεῖ· κἀκεῖνα (εξ απειρου μεταβαλλει·)[7] και παλιν (εκτεινομενα)[8] εις απειρον· (ἁ περινοεῖν, οἱ αν εἰροντος).[c] Τας γαρ

Vulgata. [1] τοιαύτης. Scribæ vox hæc, persona est, ut prius notavi, multarum vicium. Prout in Lucretio Mors—"omnia præstat, vitalem præter sensum.'—[2] οργαι.—[3] ταῦτα.—[4] η—[5] η τοιαῦτα.—[6] μεντοι. cf. Epictet 32; oraculo certior emendatio ista nodum Morosissimum explanat. [7] Hic quoque locus, diu conflictatus requiescat in pace—forsan νεται—[a] εναργ· ego, sed alius quoque pridem. Hic semel, quod rarò alibi in tot meis emend., subit illud tetrum, "Pereant, qui ante nos nostra." Quin perpetuò floreant. Beata mauns emendatrix.—[7] εις απειρον μεταβαλεῖ.—[8] εκεῖνα.

[c] Supplenda ista, ut το γαρ in seq. logicè constet. et porrò dignitas sententiæ. Sin istic, aut uspiam, ferro grassari violentius videar, veniam deprecor; sed ita, ut reus crimen abnegem. Quippe ακινητα μη κινειν, mihi Religio est. Nusquam libitum pro licito—sed nec dubia, quæ Cato ille Censor,

επικυματωσεις τῶν μεταβολῶν και αλλοιωσεων ενθυμουμενος τις, και το ταχος, παντος θνητοῦ καταφρονησει. Χειμαῤῥους ἡ τῶν ὁλων αιτια· παντα (κατα)φερει.

19. Ὡς ευτελῆ (δοκει)[1] τα πολιτικα ταῦτα, και, ὡς οιεται, φιλοσοφως πρακτικα ανθρωπια, μυξῶν μεςα; Ανθρωπε, (ει τι ποτ' ει τοιος)·[2] ποιησον, ὁ νῦν ἡ φυσις απαιτεῖ· [a]Ορμησον, (ἠ αν)[3] διδῶται· και μη περιβλεπον, ει τις ειсεται· μηδε την Πλατωνος πολιτειαν ελπιζε· αλλα αρκοῦ, ει το βραχυτατον προεισι· και τουτου αυτοῦ την εκβασιν, ὡς (ες)[4] μικρον (ετι) εςι, διανοοῦ. Δογμα γαρ αυτῶν τις μεταβαλλει; χωρις δε δογματων μεταβολῆς, τι αλλο, η δουλεια (σαινοντων,)[5] και πειθεσθαι προσποιουμενων; ὑπαγε νῦν, και Αλεξανδρον, και Φιλιππον, και Δημητριον τον Φαληρεα μοι λεγε. Οψονται, ει ειδον, τι ἡ κοινη φυσις ηθελε, και ἑαυτους επαιδαγωγησαν· ει δε ετραγῳδησαν, ουδεις με κατακεκρικε μιμεῖσθαι. Ἁπλοῦν εςι και αιδῆμον το φιλοσοφιας εργον·

Μη μ'—απαγε—(κομπον,) η 'πι σεμνοτυφιαν.[6]

20. Ανωθεν επιθεωρεῖν (αγγελιας)[7] μυριας, και τελετας μυριας, και πλοῦν παντοῖον εν χειμῶσι και γαληναις· και διαφορας γινομενων, συγγινομενων, απογινομενων. Επινοει δε και τον ὑπ' αλλων παλαι βεβιωμενον βιον, και τον μετα σε βιωθησομενον, και τον νῦν εν τοῖς βαρβαροις

é loco movi, nisi in quibus præ similit. literarum scriba aberraverit. In tot denique Emend. posita, quæ in præfat., semper respexi. Ea, ut pote probatæ fidei, secum me ac mea, non dubito, quin tueantur.—[a] In hâc paginâ septem locis, ac millies alibi, interpunctio a me mutatur, nec inconsulto. Nimirum, ut cæteroqui, ita istic, scriba a Stoico toto ingenio distat. Scriba pro fatuitate suâ, solutè, confusè, discincte omnia. Stoicus pro disciplinæ suæ instituto presse, subacte, succinctè, concise. Iste acuit se ac colligit, ille obtundit, diffunditque. Ego, quâ arbiter, Philosophum præ idiotâ—ideoque istius periodos in vastum perpetuo Evagantes, propius Stoicam brevitatem, corripui, intercidi; idque tam pro sensu ac spiritu logico, quam pro Pindari monito. βελεα εντος φαρετρης. Brevia sint, quæ in manu, in sinu, in corde, ad usum promta."

Vulgata[1] [1] δε και.—[2] τι ποτε.—[3] εαν.—[4] ες.—[5] στενοντων.
[6] Hæc in vulg. indistincta. Supra pro dramatico affectu intercisa. Comici quippe verba.—[7] αγελας.

εθνεσι βιουμενον· και όσοι μεν ουδε ονομα σου γινωσκουσιν· όσοι δε ταχιστα επιλησονται· όσοι δε επαινουντες ισως νῦν σε, ταχιστα ψεξουσι· και ὡς ουτε ἡ μνημη αξιολογον (αν ῇ,)[1] *ουτε ἡ δοξα, ουτε (αλογον)*[2] *τι. Το συμπαν. Αταραξια μεν, περι τα απο τῆς εκτος αιτιας συμβαινοντα. Δικαιοτης δε, εν τοῖς παρα την εκ σοῦ αιτιαν ενεργουμενοις· τουτεςιν, ὁρμη και (ορεξις) καταληγουσα (επι ταυτο·) το κοινωνικῶς πρᾶξαι· ὡς τοῦτο σοι κατα φυσιν (ιδιον) ον.*

21. *Πολλα περισσα περιελεῖν τῶν ενοχλουντων σοι δυνασαι, όλα επι τῇ ὑποληψει σου κειμενα· και πολλην ευρυχωριαν περιποιησεις ηδη σεαυτῷ, τῷ τον όλον κοσμον περιειληφεναι τῇ γνωμῃ, και τον αιδιον αιῶνα περινοεῖν, και την (ποῦ καταμερισι)*[3] *ἑκαστου (πλασματος) ταχεῖαν* [a] *μεταβολην· ὡς βραχυ μεν το απο γενεσεως μεχρι διαλυσεως· αχανες δε το προ τῆς γενεσεως· και το μετα την διαλυσιν ὁμοιως απειρον. (Ὁυ) παντα, όσα ὁρᾷς, ταχιστα φθαρησεται· και οἱ φθειρομενα αυτα επιδοντες, ταχιστα και αυτοι φθαρησονται. Και ὁ εσχατογηρως αποθανων εις ισον καταστησεται τῷ προωρῳ.*

22. *Τινα τα ἡγεμονικα τουτων, και περι οἷα εσπουδακασι, και δι οἷα φιλοῦσι και τιμῶσι. Γυμνα (λογιζου)*[4] *τα ψυχαρια αυτῶν. Ὁτε δοκοῦσι βλαπτειν ψεγοντες, η ωφελεῖν εξυμνοῦντες, (ιση)*[5] *οιησις.*

23. *Ἡ αποβολη ουδεν αλλο εςιν, η μεταβολὴ. Τουτῳ δε χαιρει η τῶν όλων φυσις· καθ᾽ ἡν παντα καλῶς γινεται, και εξ αιῶνος ὁμοειδῶς εγινετο, και εις απειρον τοιαῦθ᾽ ἑτερα εςαι. Τι οὖν (ψεγεις;)*[6] *ὁτι εγινετο τε παντα (κακα), και αει κακῶς εςαι, και ουδεμια αρα δυναμις (εκ τοσου)*[7] *τοις θεοῖς εξευρεθη ποτε ἡ διορθωσουσα ταῦτα· αλλα κατακεκριται ὁ κοσμος εν αδιαλειπτοις κακοῖς συνεχεσθαι;*

24. *Το σαπρον τῆς ἑκαςῳ ὑποκειμενης ὑλης· ὑδωρ, κονις, οσταρια, γρασος· η παλιν, πῶροι γῆς τα μαρμαρα· και ὑποσταθμαι ὁ χρυσος, ὁ αργυρος· και τριχια ἡ εσθης. και αἷμα ἡ πορφυρα· και παντα αλλα (διαλλακτα).*[8]

Vulgata. [1] *γε*—[2] *επ᾽ αυτο.*—[3] *τοῦ κατα μερος.*—[4] *νομιζε.*—[5] *ὁση.*—[6] *λεγεις.*—[7] *εν τοσοις.* sed talem Deorum turbam Stoa non recipit.—[8] *τοιαῦτα.*—[a] mel. *ςοιχειων* vel *ες ς.*

Και το πνευματικον δε (*αυτο τευκτικον*)[1] *εκ* (*τακτων εις τακτα*)[2] *μεταβαλλον.*

25. *Ἁλις τοῦ αθλιου βιου, και γογγυσμοῦ, και πιθηκισμοῦ. Τι ταρασση; τι τουτων καινον; τι σε εξιστησι; το αιτιον;* (*ιδεα αιτιον*).[3] *Αλλ' ἡ ὑλη;* (*ιδεα υλην*).[4] *Εξω δε τουτων ουδεν·* (*ει τιν' αλλακτα, Προνοιας· Αιδου*)[5] *θεους·* (*ηθη*) *ηδη ποτε* (*απολουου·*) *ἁπλουςερος και χρηςοτερος γενου. Ισον το ἑκατον ετεσι, και το τρισι ταυτα ἱστορησαι.*

26. *Ει μεν ἡμαρτεν,* (*εκεινου*)[6] *το κακον. Ταχα δ' ουχ ἡμαρτεν.*

27. *Ητοι απο μιᾶς πηγῆς νοερᾶς παντα, ὡς ἑνι σωματι, επισυμβαινει, και ου δεῖ το μερος τοῖς ὑπερ τοῦ ὁλου γινομενοις μεμφεσθαι· η ατομοι· και ουδεν αλλο, η κυκεων και σκεδασμος. Τι οὖν ταρασση;—Τῷ ἡγεμονικῷ* (*λεγε· Εγω—ει συ—ειτα συ*) *τεθνηκας, εφθαρσαι,* [a](*ἀ*)*ποκρινη, τεθηριωσαι, συναγελαζη, βοσκη;*

28. *Ητοι ουδεν δυνανται οἱ θεοι, η δυνανται* (*παντα*). *Ει οὖν μηδεν δυνανται, τι ευχη; ει δε δυνανται παντα, τι ουχι μᾶλλον ευχη διδοναι αυτους το μητε φοβεῖσθαι τι* (*τυχοντων*)[10] *μητε επιθυμεῖν· μητε λυπεῖσθαι μᾶλλον, τω μη παρεῖναι, η τω παρεῖναι; παντως γαρ, ει δυνανται συνεργεῖν ανθρωποις, εις ταῦτα δυνανται. Αλλ' ισως ερεῖς,* (*εις τι ευχομαι;*)[11] *Επ' εμοι αυτα οἱ θεοι εποιησαν. Εἶτα ου κρεισσον χρῆσθαι τοῖς επι σοι μετ' ελευθεριας, η διαφερεσθαι προς τα μη επι σοι μετα δουλειας και ταπεινοτητος; Τις δε σοι εἶπεν ὁτι ουχι και εις τα εφ' ἡμῖν οἱ θεοι συλλαμβανουσιν; Ἀρξαι γοῦν περι τουτων ευχεσθαι, και οψει. Οὗτος ευχεται· Πῶς κοιμηθῶ μετ' εκεινης. συ· Πῶς μη επιθυμησω τοῦ κοιμηθῆναι μετ' εκεινης· Αλλος. Πῶς* (*ςερχθω*)[7] *εκεινου· συ; Πῶς μη χρηζω τοῦ* (*στερχθηναι*) *Αλλος· Πως μη αποβαλω το τεκνιον· συ, Πῶς μη φοβηθῶ αποβαλεῖν. Ὁλως,* (*θεω δη*)[8] *επιτρεψον τας ευχας, και* (*θεω χωρεί,*)[9] *ὁτι γινεται.*

Vulgata. [1] *αλλο τοιοῦτον.*—[2] *τουτων εις ταῦτα.* Illa quæ scriba, ebrius credo, turbavit, sobrio cuivis ac sagaci pro ratis se probant.—[3] *ιδε αυτο.* —[4] *ιδε αυτην.*—[5] *και τα προς τους.*—[6] *εκεῖ.* —[7] *στερηθῶ.* —[8] *δε ὡδε.* —[9] *θεωρει.* mel. Θ. *εκχωρεῖ.*—[10] *τουτων.*—[11] *ὁτι.*

[a] Forsan, *η Τω Ηγ. ὡ θελεις και λεγεις, μελει ει κ. τ. λ.*

29. Ὁ Ἐπικουρος· (λεγει εποντι)[1] εν τῇ νοσῳ ουκ ησαν μοι αἱ ὁμιλιαι περι τῶν τοῦ σωματιου παθῶν· ουδε προς τους εισιοντας (θεραπευτικα,)[2] φησιν, ελαλουν· αλλα τα προηγουμενα φυσιολογῶν διετελουν· και προς αυτῷ τουτῳ ων, πῶς ἡ διανοια συμμεταλαμβανουσα τῶν εν τῷ σαρκιδιω (ταραχτικων)[3] κινησεων αταρακτῇ, το ιδιον αγαθον τηροῦσα. Ουδε τοῖς ιατροῖς (σωμα παρειχον)[4] φησι (καταπλαττεσθαι, ὡς τυποποιουσιν,) αλλ' ὁ βιος ηρετο εὖ και καλῶς. Ταυτα οὖν εκεινῳ· εν νοσῳ, εαν νοσῇς, και εν αλλῃ τινι περιστασει· το γαρ μη αφιστασθαι φιλοσοφιας εν οἷς δηποτε τοῖς προσπιπτουσι, μηδε τῷ ιδιωτῃ και αφυσιολογῳ συμφλυαρεῖν, πασης αἱρεσεως κοινον. προς μονω δε (τον νουν) τῶ νῦν πρασσομενῳ εἶναι, και τω οργανῳ, δι ὁν πρασσει.

30. Ὁταν τινος αναισχυντιᾳ προσκοπτῃς, ευθυς πυνθανου σεαυτοῦ· Δυνανται ουν εν τῷ κοσμῳ αναισχυντοι μη εἶναι; ου δυνανται. Μη οὖν απαῖτει το αδυνατον. εἷς γαρ και οὗτος εςιν εκεινων τῶν αναισχυντων, οὓς αναγκη εν τῷ κοσμῳ εἶναι. Το δ' αυτο και επι τοῦ πανουργου, και επι τοῦ απιςτου, και παντος τοῦ ὁτιοῦν ἁμαρτανοντος, εςω σοι προχειρον. Ἁμα γαρ τῷ ὑπομνησθῆναι, ὁτι το γενος τῶν τοιουτων αδυνατον εςι μη ὑπαρχειν, ευμενεστερος εσῃ προς τους καθ' ἑνα. Ευχρηςον δε κακεῖνο ευθυς εννοεῖν, τινα εδωκεν ἡ φυσις τῷ ανθρωπῳ αρετὴν προς τοῦτο το ἁμαρτημα. Εδωκε γαρ, ως αντιφαρμακον, προς μεν τον αγνωμονα την πρᾳοτητα· προς δε αλλον αλλην τινα δυναμιν. Ὁλως δε εξεςι σοι μεταδιδασκειν τον πεπλανημενον· πᾶς γας ὁ ἁμαρτανων αφαμαρτανει τοῦ προκειμενου, και πεπλανηται. Τι δε και (σοι; Ου) βεβλαψαι· εὑρησεις γαρ μηδενα τουτων, προς οἷς παροξυνῃ, πεποιηκοτα τι τοιοῦτον, εξ ὁν ἡ διανοια σου χειρων εμελλε γενησεσθαι· το δε κακον σου και το

Vulgata. [1] λεγει, ὁτι inania, vilia, flocci, pili. ut supra, gravis, accuratus, constans auctor conscius fit sui.—[2] τοιαῦτα τινα. vox ista τ. scribæ pro panaceâ est quam pro cunctis eandem morbis e pulpito triviali venditat. Mihi pro παγκα. λυπτικω pallio funebri est, quo, utique uno pro universis, quæ corpora, medicaster enecavit, quæ cadauera, libitinarius αγνωςα obuoluit. Nigrum certè Θ portendit ubicunque prætenditur.—[3] τοιουτων.—[4] καταφρυαττεσθαι, ὡς τι ποιοῦσιν.

βλαβερον ενταῦθα πασαν την ὑποςασιν εχει. Τι δη κακον η ξενον γεγονεν, ει ὁ απαιδευτος τα τοῦ απαιδευτου πρασσει; ὁρα, μη σεαυτῷ μᾶλλον εγκαλεῖν οφειλῃς, ὁτι ου προσεδοκησας τοῦτον τοῦτο ἁμαρτησεσθαι. Συ γαρ και αφορμας εκ τοῦ λογου εἶχες προς το ενθυμηθῆναι, ὁτι εικος εςι, και ὁμως επιλαθομενος θαυμαζεις, ει ἡμαρτηκε. Μαλιςα δε, ὁταν ὡς απιςῳ, η αχαριςῳ μεμφῃ, εις ἑαυτον επιςρεφου. Προδηλως γαρ σου το ἁμαρτημα· ειτε περι τοῦ τοιαυτην την διαθεσιν εχοντος επιςευσας, ὁτι την πιςιν φυλαξει· ειτε την χαριν διδους, μη καταληκτικῶς εδωκας· μηδε ὡςε εξ αυτῆς τῆς σῆς πραξεως ευθυς απειληφεναι παντα (σου)[5] καρπον. Τι γαρ πλεον θελεις εὖ ποιησας ανθρωπον; ουκ αρκεῖ σοι; Κατα φυσιν την σην τι επραξας· Τουτου μισθον ζητεις; ὡς ει ὁ οφθαλμος αμοιβην απῃτει, ὁτι βλεπει· η οἱ ποδες, ὁτι βαδιζουσιν. Ὥσπερ γαρ ταῦτα προς τοδε τι γεγονεν, ὁπερ, κατα την ιδιαν κατασκευην ενεργοῦντα, απεχει το ιδιον· οὑτω και ὁ ανθρωπος ευεργετικος πεφυκως, ὁποταν τι ευεργετικον, η αλλως εις τα μεσα συνεργητικον πραξῃ, πεποιηκε προς ὁ κατεσκευαςαι· και εχει το ἑαυτοῦ.

ΒΙΒΛΙΟΝ Ι.

1. Εσῃ ποτε ἆρ' ὦ ψυχη, αγαθη, και ἁπλῆ, και μια, και γυμνη, φανερωτερα τοῦ περικειμενου σοι σωματος; γευσῃ ποτε ἆρα τῆς φιλητικῆς και ςερκτικῆς διαθεσεως; Εσῃ ποτε ἆρα πληρης, και ανενδεης, και ουδεν επιποθοῦσα, ουδε επιθυμοῦσα ουδενος; ουτε εμψυχου, ουτε αψυχου, προς ἡδονῶν απολαυσεις· ουδε χρονου, εν ᾧ επι μακροτερον· ουδε τοπου· (ουδ' η ὡρας η αερος ευκρασιας, η αγρων)[1] ευκαιριας, ουδε ανθρωπων εναρμοςιας; αλλα αρκεσθησῃ τῇ παρουσῃ καταςασει, και ἡσθησῃ τοῖς παροῦσι (παθεσι),[2] και συμπεισεις σεαυτην, ὁτι παντα σοι (αριςα ἁπερ αρεςα)·[3] παντα σοι εὖ εχει, (επει)[4] παρα τῶν θεῶν

Vulgata. [1] η χωρας, η αερων.—[2] πᾶσι.—[3] παρεστι.—[4] και.—[5] τον.

παρεςι· και εὖ ἑξει,[8] *ὁσα φιλον αυτοῖς, και ὁσα μελλουσι δωσειν επι σωτηρια τοῦ τελειου ζωου· τοῦ αγαθοῦ, και δικαιου, και καλοῦ, και γεννῶντος παντα και συνεχοντος, και περιεχοντος, και (παραλλασσοντος)*[1] *διαλυομενα, εις γενεσιν ἑτερων ὁμοιων; Εσῃ ποτε ἀρα τοιαυτη, οἱα θεοῖς τε και ανθρωποις οὑτω συμπολιτευεσθαι, ὡς μητε μεμφεσθαι τι αυτοῖς, μητε καταγινωσκεσθαι ὑπ' αυτῶν;*

2. *Παρατηρει, τι σου ἡ φυσις επιζητεῖ, ὡς ὑπο φυσεως (φυτου)*[2] *διοικουμενου· εἶτα (εποικειου)*[3] *αυτο και προσιεσο· ει μη χεῖρον μελλει διατιθεσθαι σου ἡ ὡς ζωου φυσις. Ἑξῆς δε παρατηρητεον, τι επιζητεῖ σου ἡ ὡς ζωου φυσις. Και πᾶν τοῦτο παραληπτεον· ει μη χεῖρον μελλει διατιθεσθαι ἡ ὡς ζωου λογικοῦ (σου) φυσις. (Ειτα ες τοδε)*[4] *το λογικον (ευθυνε)*[5] *και το πολιτικον. Τουτοις δη κανοσι χρωμενος, μηδεν περιεργαζου.*

3. *Πᾶν το συμβαῖνον ητοι οὑτω συμβαινει, ὡς πεφυκας αυτο φερειν, η ὡς ου. Ει μεν οὖν συμβαινει σοι, ὡς πεφυκας φερειν, μη δυσχεραινε· αλλ' ὡς πεφυκας, φερε. Ει δε, ὡς μη πεφυκας φερειν, μη δυσχεραινε· φθαρησεται γαρ σε (απαναλυσαν).*[6] *Μεμνησο μεντοι, ὁτι πεφυκας φερειν πᾶν, περι οὑ επι τῇ ὑποληψει εςι τῇ σῇ, φορητον και ανεκτον αυτο ποιῆσαι, κατα φαντασιαν τοῦ συμφερειν, η καθηκειν σεαυτῷ. (Τοῦτο ποιεῖν).*

4. *Ει μεν σφαλλεται, διδασκειν ευμενῶς, και το παρορωμενον δεικνυναι. Ει δε αδυνατεῖς, σεαυτον αιτιᾶσθαι· η μηδε σεαυτον.*

5. *Ὁ τι αν σοι συμβαινῃ, τοῦτο σοι εξ αιῶνος προκατεσκευαζετο· και ἡ επιπλοκη τῶν αιτιων συνεκλωθε την τε σην ὑποστασιν εξ αἰδιου, και την τουτου συμβασιν.*

6. *Ειτε ατομοι, (ειτα τι εμοι;)*[7] *ειτε φυσις· πρῶτον κεισθω, ὁτι μερος ειμι τοῦ ὁλου, ὑπο φυσεως διοικουμενου· επειτα, ὁτι εχω πως οικειως προς τα ὁμογενῆ μερη. Τουτων γαρ μεμνημενος, καθοτι μεν μερος ειμι, ουδενι*

Vulgata. [1] *περιλαμβανοντος.*—[2] *μονον.*—[3] *ποιει*, sed *φυτον* non agit, passive tantum recipit.—[4] *Εστι δε.*—[5] *ευθυς.*—[6] *απαναλῶσαν.* Bella consolatio. Per *ω* in *υ* mutatum, levissimo, ut est lucis, tactu, scindit se nubes, et in æthera purgat apertum.—[7] Omittit; forsan *εατεοι μοι*, quod eodem.—[8] *ενδεξῃ.*

δυσαρεςησω τῶν εκ τοῦ ὁλου απονεμομενων· ουδεν γαρ βλαβερον τῷ μερει, ὁ τῷ ὁλῳ συμφερει. Ου γαρ εχει τι το ὁλον, ὁ μη συμφερει ἑαυτῷ· πασῶν μεν φυσεων κοινον εχουσῶν τοῦτο· τῆς δε τοῦ κοσμου προσειληφυιας το μηδε ὑπο τινος εξωθεν αιτιας αναγκαζεσθαι βλαβερον τι ἑαυτῇ γεννᾷν. Κατα μεν δη το μεμνῆσθαι, ὁτι μερος ειμι ὁλου τοῦ τοιουτου, εναρεςησω παντι τῷ αποβαινοντι. Καθοσον δε εχω πως οικειως προς τα ὁμογενῆ μερη, ουδεν πραξω ακοινωνητον· μᾶλλον δε ςοχασομαι τῶν ὁμογενῶν·· και προς το κοινῇ συμφερον πᾶσαν ὁρμην εμαυτοῦ αξω, και απο τουναντιου απαξω. Τουτων δε οὑτω περαινομενων, αναγκη τον βιον ευροεῖν· ὡς αν και πολιτου βιον ευρουν επινοησειας, προϊοντος δια πραξεων τοῖς πολιταις λυσιτελῶν· και ὁπερ αν ἡ πολις απονεμῃ, τοῦτο ασπαζομενου.

7. *Τοῖς μερεσι τοῦ ὁλου, ὁσα (εφημερα)*[1] *περιεχεται ὑπο τοῦ κοσμου, αναγκη φθειρεσθαι· λεγεσθω δε τοῦτο σημαντικῶς τοῦ αλλοιοῦσθαι· ει δε φυσει κακον τε και αναγκαῖον εςι τοῦτο αυτοῖς, ουκ αν το ὁλον καλῶς διεξαγοιτο· τῶν μερῶν εις αλλοτριωσιν (τεινοντων),*[2] *και προς το φθειρεσθαι (δια φυσεως)*[3] *κατεσκευασμενων; Ποτερον γαρ επεχειρησεν ἡ φυσις αυτη τα ἑαυτῆς μερη κακοῦν, και (παραπτωτικα)*[4] *τῷ (καλω,)*[5] *και εξ αναγκης εμπτωτα εις το κακον ποιεῖν· η ελαθεν αυτην τοιαδε τινα γενομενα; αμφοτερα γαρ απιθανα. Ει δε τις, και αφεμενος τῆς (πτωσεως)*[6] *κατα το πεφυκεναι (τοιαυτα)*[7] *εξηγοῖτο, και (ὦς),*[a] *γελοῖον, ἁμα μεν φαναι πεφυκεναι τα μερη τοῦ ὁλου μεταβαλλειν, ἁμα δε ὡς επι τινι τῶν παρα φυσιν συμβαινοντων θαυμαζειν, η δυσχεραινειν· αλλως τε και τῆς διαλυσεως εις ταῦτα γινομενης, εξ ὧν ἑκαςον συνιςαται. Ητοι γαρ σκεδασμος ςοιχειων, εξ ὧν συνεκριθη· η τροπη, τοῦ μεν ςερεμνιου εις το γεῶδες, τοῦ δε πνευματικοῦ εις το αερῶδες· ὡςε (καταλλακτα)*[8] *αναληφθῆναι εις τον τοῦ*

Vulgata. [1] *φημι.* —[2] *οντων.*—[3] *διαφορως.*— [4] *περιπτωτικα.* —[5] *κακῷ* forsan *αγαθω.* — [6] *φυσεως.* Sed *πτωσις* hic *φυσει*, prout incidens seu contingens præordinato, opponitur. — [7] *ταυτα.* Ista, pejus quam illi, qui infra, *Θηριομαχοι*, bestiali scribâ dilaniata, quippe a logicis in *αλογα*, ita resano.— [8] *και ταῖτα.*

[a] *Τω ὡς* accentum ac comma addidi; diversus inde a[illegible] orque sensus.

ὁλου λογον, ειτε κατα περιοδον εκπυρουμενου, ειτε αϊδιοις αμοιβαῖς ανανεουμενου. Και το ςερεμνιον δη, και το πνευματικον, μη φανταζου το απο τῆς γενεσεως. Πᾶν γαρ τοῦτο εχθες και τριτην ἡμεραν εκ τῶν σιτιων και τοῦ ἑλκομενου αερος την επιῤῥοην ελαβεν. Τοῦτο οὖν, ὁ ελαβε, μεταβαλλει, ουχ ὁ ἡ μητηρ ετεκεν. ʽΥποθου δʼ, ὁτι (εκ κοινου)[1] σε (δια βιαν)[2] προσπλεκει τῷ ιδιως ποιῷ· ουδεν (δεινον, ουδʼ εναντιον)[3] οἶμαι προς το (νοῦν)[4] λεγομενον.

8. ʼΟνοματα θεμενος σαυτῷ ταῦτα· αγαθος, αιδημων, αληθης, εμφρων, συμφρων, ὑπερφρων· προσεχε, μηποτε μετονομαζῃ· καν απολλυῃς ταῦτα τα ονοματα, (μετα τηρησεως)[5] επανιε επʼ αυτα. Μεμνησο δε, ὁτι το μεν εμφρον εβουλετο σοι σημαινειν την εφʼ ἑκαςα διαληπτικην επιςασιν, και το απαρενθυμητον· το δε συμφρον, την ἑκουσιον αποδεξιν τῶν ὑπο τῆς κοινῆς φυσεως απονεμομενων· το δε ὑπερφρον, την ὑπερτασιν τοῦ φρονοῦντος μοριον ὑπερ λειαν η τραχεῖαν κινησιν τῆς σαρκος, και το δοξαριον, και τον θανατον, και ὁσα (απροαιρετα).[a] Εαν οὖν διατηρῇς σεαυτον εν τουτοις τοῖς ονομασι, μη γλιχομενος τοῦ ὑπʼ αλλων κατα ταῦτα ονομαζεσθαι, εσῃ ἑτερος, και εις βιον εισελευσῃ ἑτερον. [b]Το γαρ ετι τοιοῦτον εἶναι, οἷος μεχρι νῦν γεγονας, και εν βιῳ τοιουτῳ σπαρασσεσθαι και μολυνεσθαι, λιαν εςιν αναισθητου και φιλοψυχου· και ὁμοιου τοῖς ἡμιβρωτοις θηριομαχοις, οἱτινες, μεςοι τραυματων και λυθρου, [6](προ)καλοῦσιν ὁμως εις την αυριον φυλαχθῆναι· παραβληθησομενοι τοιοῦτοι τοῖς αυτοῖς ονυξι και δηγμασιν. Εμβιβασον οὖν σαυτον εις τα (λογικα)[7] ταῦτα ονοματα. Καν μεν επʼ αυτῶν μενειν δυνῃ, μενε· ὡσπερ εις Μακαρων τινας νησους μετῳκισμενος· εαν δε αισθῃ, ὁτι εκπιπτεις, και ου περικρατεῖς, απιθι θαῤῥῶν εις γωνιαν τινα, ὁπου κρατησεις· η και παντασασιν εξιθι τοῦ βιου· μη οργιζομενος, αλλα ἁπλῶς, και ελευθερως, και αιδημονως· ἑν γε τοῦτο μονον πραξας (εν) εν τῷ βιῳ, το οὑτως εξελθεῖν. Προς μεντοι το μεμνῆσθαι (τωνδε)[8] ονοματων μεγαλως συλληψεται σοι, το μεμνῆσθαι θεῶν· και ὁτιπερ ου κολακευεσθαι οὗτοι θελουσιν, αλλα

Vulgata. [1] εκεινῳ.—[2] λιαν.—[3] οντι.—[4] νῦν.—[5] ταχεως.—[6] παρα.—[7] ολιγα.—[8] τῶν.

[a] Forsan ὑπεργασιν.—[b] Το γαρ, ut relat. postulat antecedens suum, τηρει ουν, vel εθισον ουν.—[9] τοιαῦτα.

εξομοιοῦσθαι ἑαυτοῖς τα λογικα παντα· και (αει) εἶναι την μεν συκῆν τα συκῆς ποιοῦσαν, τον δε κυνα τα κυνος, την δε μελισσαν τα μελισσης, τον δε ανθρωπον τα ανθρωπου.

9. (Λιμος,) πολεμος, πτοια, ναρκα, δουλεια (ες τα) καθ' ἡμεραν· (απαλειψει ταυτα)[1] σου τα ἱερα εκεῖνα δογματα ἁ, (μετα το δοκιμασαι,) ὁπως ὁ αφυσιολογητος φανταζη και παραπεμπεις. Δεῖ δε πᾶν οὑτω βλεπειν και πρασσειν, ὡςε και το περιςατικον ἁμα συντελεῖσθαι, και αμα το θεωρητικον ενεργεῖσθαι, και το εκ τῆς περι ἑκαςων επιςημης (αυθεντες)[3] σωζεσθαι, (ιδιασθεν)[4] ουχι (εκρεφομενον).[5] Ποτε γαρ αλλοτριης ἁπλοτητος απολαυσεις; ποτε δε σεμνοτητος; ποτε δε τῆς εφ' ἑκαςον γνωρισεως; τι δη εςι κατ' ουσιαν, και τινα χωραν εχει εν τῷ κοσμῳ, και επι ποσον πεφυκεν ὑφιςασθαι, και εκ τινων συγκεκριται, και τισι δυναται ὑπαρχειν, και τινες δυνανται αυτο διδοναι τε και αφαιρεῖσθαι;

10. Αραχνιον μυῖαν θηρασαν μεγα φρονεῖ· αλλος δε λαγιδιον, αλλος δε ὑποχῇ αφυην, αλλος δε συιδια, αλλος δε αρκτους, αλλος Σαρματας. (Σεαυτον)[6] γαρ ου (λελησθαι).[7]

11. [a](Εᾶν)[8] τα δογματα· (εξεταζε ες ἁ ζης·)[9] Πῶς εις αλληλα παντα μεταβαλλει· θεωρητικην μεθοδον κτῆσαι· και διηνεκῶς προσεχε, και συγγυμνασθητι περι (τον ὁλον κατα)[10] μερος. Ουδεν γαρ οὑτω μεγαλοφροσυνης ποιητικον. Εξεδυσατο (ὁ λογος) το σῶμα, και εννοησας, ὁτι ὁσον ουδεπω παντα ταῦτα καταλιπεῖν απιοντα εξ ανθρωπων δεησει, ανῆκεν ὁλον ἑαυτον, δικαιοσυνῃ μεν εις τα ὑφ' ἑαυτοῦ ενεργουμενα, εν δε τοῖς αλλοις συμβαινουσι, τῇ τῶν ὁλων φυσει. Τι δ' ερεῖ τις, η ὑποληψεται περι αυτοῦ, η πραξει κατ' αυτοῦ, ουδ' εις νοῦν βαλλεται· δυο τουτοις αρκουμενος (τοῖς επ' αυτοῦ,)[11] δικαιοπραγεῖν το νῦν πρασσομενον, και φιλεῖν το νῦν απονεμομενον ἑαυτῷ·

Vulgata. [1] απαλειψεται σου.—[3] ὁποσα αφυσιολογητος.—[3] αυθαδες.—[4] λανθανον.—[5] κρυπτομενον. fors. λαγχανον ουχι κλεπτομενον. Ista ab Epicteto. s. 46, επει και τα προβατα, ου των χορτον εξεμεσαντα επιδεικνυει ποσον εφαγε αλλ εσω πεψαντα, εριον φερει και γαλα.—[6] Οὗτοι. inepta ac inania. Hæc ad se M. Ant. qui Sarmatas debellavit.—[7] λησται.—[8] εαν.—[9] εξεταζης.—[10] τοῦτο το.—[11] αυτος. Stoicum ac concinnum pro stupidè præpostero.—[a] malim Εᾶν τ' αλογα. τα δ. εξ. ες ἁ.

ασχολιας δε πασας και (κενοσπουδιας)[1] αφῆκε· και ουδεν αλλο βουλεται, η ευθεῖαν περαινειν δια τοῦ νομου, και ευθεῖαν περαινοντι ἑπεσθαι τῷ θεῷ.

12. Τις ὑπονοιας χρεια, παρον σκοπεῖν, τι δεῖ πραχθῆναι; καν μεν συνορᾷς, ευμενῶς, αμεταςρεπτι ταυτῃ χωρεῖν· εαν δε μη συνορᾷς, επεχειν· και συμβουλοις τοῖς αριστοις χρῆσθαι· εαν δε ἑτερα τινα προς ταῦτα αντιβαινῃ, προϊεναι κατα τας παρουσας αφορμας λελογισμενως, εχομενον τοῦ φαινομενου δικαιου. Αριστον γαρ (παρεικοτα τα τυχοντα τυγχανειν)[2] τουτου· επει τοι ἡ γε αποπτωσις απο τουτου εςιν. Σχολαῖον τι και ἁμα ευκινητον (ενιςησι)[3] και φαιδρον ἁμα και συνεστηκος, ὁ τῷ λογῳ κατα πᾶν ἑπομενος.

13. Πυνθανεσθαι ἑαυτοῦ, ευθυς εξ ὑπνου γινομενον, μητι διοισει σοι, εαν ὑπο αλλου (ψεγηται)[4] τα (σα) δικαια και καλῶς εχοντα; ου διοισει. Μητι επιλελησαι, ὁτι αὑτοι οἱ εν τοῖς παρ' αλλων επαινοις και ψογοις φρυαττομενοι, τοιοῦτοι μεν επι τῆς κλινης εισι, τοιοῦτοι δε επι τῆς τραπεζης· οἷα δε ποιοῦσιν, οἷα δε φευγουσιν, οἷα δε διωκουσιν, οἷα δε κλεπτουσιν, οἷα δε ἁρπαζουσιν· ου χερσι και ποσιν, αλλα τῷ τιμιωτατῳ ἑαυτῶν μερει· ᾧ γινεται, ὁταν εθελῃ, πιςις, αιδως, αληθεια, νομος, αγαθος δαιμων;

14. Τῇ παντα διδουσῃ και απολαμβανουσῃ φυσει ὁ πεπαιδευμενος και αιδημων λεγει· Δος, ὁ θελεις, απολαβε, ὁ θελεις. Λεγει δε τοῦτο ου καταθρασυνομενος, αλλα πειθαρχῶν μενουν και ευνοῶν αυτῇ.

15. Ολιγον εςι το ὑπολειπομενον τοῦτο. (Σηκον)[5] ὡς εν ορει. Ουδεν γαρ διαφερει, εκεῖ, η ὡδε· εαν τις πανταχοῦ, ὡς εν πολει, τῷ κοσμῳ. Ιδετωσαν, ἱστορησατωσαν οἱ ανθρωποι ανθρωπον αληθινον κατα φυσιν ζῶντα. Ει μη φερουσιν, αποκτεινατωσαν· Κρεῖττον γαρ, η οὑτω ζῆν.

16· (Μη καθολως)[6] περι τοῦ, οἷον τινα (δει) εἶναι τον αγαθον ανδρα, διαλεγεσθαι· αλλα εἶναι τοιοῦτον.

Vulgata.—[1] σπουδας.—[2] κατατυγχανειν. Ex iisdem elementis recta pro depravatâ ratio; ad hanc normam, ut Physicus, ita criticus, λογος, κοσμον suum ordinet; sin malis, κατα παντα.—[3] εστι.—[4] γενηται. Deliri est delira proponere. Itaque ego ψεγ, quod et propè, et spero, probè.—[5] Ζῆσον.—[7] Μηκε θ' ὁλως. cf. Epictetum, 51.

17. (*Τα*) *Τοῦ ὁλου αιῶνος, καί τῆς ὁλης ουσιας* (*συνεχη ὡς φαντασαι·*)[1] *και ὁτι παντα τα κατα μερος, ὡς μεν προς ουσιαν, κεγχραμις· ὡς δε προς χρονον, τρυπανου περιςροφη. Εις ἑκαςον τῶν ὑποκειμενων εφιςαντα, επινοεῖν αυτο ηδη διαλυομενον, και εν μεταβολῆ, και οἶον σηψει, η σκεδασει γινομενον·* (*ἦ καθ' εν τι εσκευαςο, ὡσπερ πεφυκεν,*)[2] *θνησκειν. Οἶοι* (*ὁι συνεθιζοντες·*)[3] *εσθιοντες, καθευδοντες, οχευοντες, αποπατοῦντες, τα αλλα. Εἶτα ὁιοι* (*ανδρογυναιουμενοι*),[4] *και γαυρουμενοι, η χαλεπαινοντες, και εξ ὑπεροχῆς επιπληττοντες. Προ ολιγου δε και εδουλευον ποσοις, και δι' οἶα· και μετ' ολιγον εν* (*τελευταιοις*)[5] *εσονται.*

18. *Συμφερει ἑκαςῳ, ὁ φερει ἑκαςῳ ἡ τῶν ὁλων φυσις. Και τοτε συμφερει, ὁτε εκεινη φερει. Ε ρ ᾶ μ ε ν ο μ β ρ ο υ γ α ῖ α·* (*Πυρος δ' ὁ*)[6] *σ ε μ ν ο ς α ι θ η ρ· ερᾷ δε ὁ κοσμος ποιῆσαι, ὁ αν μελλῃ γινεσθαι. Λεγω οὖν τῷ κοσμῳ, ὁ τι* (*ποιεις*) *σοι συνερῶ. Μητι δ' οὑτω κακεῖνο* (*νομιζεται, και*)[7] *λεγεται, ὁ τ ι Φ ι λ ε ῖ τ ο ῦ τ ο γ ι ν ε σ θ α ι;*

19. *Ητοι ενταῦθα ζῇς, και ηδη ειθικας· η εξω ὑπαγεις, και τοῦτο* (*ἦ θελεις·*)[8] *η αποθνησκεις, και απελειτουργησας. Παρα δε ταῦτα ουδεν. Ουκοῦν ευθυμει.*

20. *Εναργες εςω* (*αει εννουντι,*) *ὁτι* (*ἡ πολις*) *τοιοῦτο* (*ενοικειν, ὁιον*)[9] *ὁ αγρος εςι· και πῶς παντα εςι ταυτα ενθαδε τοῖς εν ακρῳ τῷ ορει, η επι τοῦ αιγιαλοῦ· η ὁπου θελεις. Αντικρυς γαρ εὑρησεις τα τοῦ Πλατωνος· σηκον εν ορει, φησι, περιβαλλομενος·* (*κ'ει*)[10] *βαλλειν βληματα,*[a] (*Ταυτι εςω*)*· Τι εςι μοι το ἡγεμονικον μου; και ποῖον τι εγω* (*αυτω; Τι*)[11] *ποιῶ νῦν; και προς τι ποτε αυτῷ νῦν χρῶμαι; μητι κενον νοῦ εςι; μητι απολυτον και απεσ-*

Vulgata. [1] *συνεχῶς φαντασια.* sincera pro cassis.—[2] *η καθοτι ἑκαστον πεφυκεν, ὡσπερ.*—[3] *εισιν.*—[4] *ανδρονομουμενοι.*—[5] *τοιουτοις.*—[6] *ερᾷ δε.*—[7] *γινεται και λεγ.*—[8] *ηθελες.*—[9] *εκεῖνο.* [10] *και.*—[11] *αυτο. Ηγεμονικον* (quod notatum velim, ut non cuivis obvium)=will—quod Romani nullo proprio nomine notârunt. Et tamen eo prævalebant; an quia illis ita erat usitatum, ut neque animadverterent neque designarent; quod et apud Græcos in voce ineptum Cicero notat.

[a] Mera rudera—quæ commentatores, *νηπιοι αυτως*, per vices multiplices vexant. Ego, quo constet statua, ita reconstituo—*παραβαλλομενος· ου μεν ὡς κυβῳ βαλλων, αλλ' ως βληματα τοιαυτι*, aleæ enim proprium *παραβαλλ.*

πασμενον κοινωνιας; μητι προςετηκος, και ανακεκραμενον τῷ σαρκιδιῳ, ωςε τουτῳ συντρεπεσθαι;

21. *Ὁ τον κυριον φευγων, δραπετης· κυριος δε ὁ νομος· (ουκοῦν)*[1] *ὁ παρανομῶν δραπετης. Ἁμα και ὁ λυπουμενος, η οργιζομενος, η φοβουμενος, ὁ βουλεται γεγονεναι, η γινεσθαι, η (γενησεσθαι)*[2] *τῶν ὑπο τοῦ τα παντα διοικοῦντος τεταγμενων· ὁς εςι νομος· νεμων, ὁσα ἑκαςῳ επιβαλλει. Ὁ αρα φοβουμενος, η λυπουμενος, η οργιζομενος, δραπετης.*

22. *Σπερμα ες μητραν αφεις (τις) απεχωρησε· και λοιπον αλλη αιτια παραλαβοῦσα εργαζεται, και αποτελεῖ βρεφος· εξ οἱον οἱον; παλιν τροφην δια φαρυγγος αφῆκε, και λοιπον αλλη αιτια παραλαβοῦσα, αισθησιν, και ὁρμην, και το ὁλον, ζωην, και ῥωμην, και αλλα, ὁσα και οἱα, ποιεῖ. Ταῦτα οὖν τα εν τοιαυτῃ εγκαλυψει γινομενα θεωρεῖν· και την δυναμιν (αυτων νοεραν,)*[3] *ὡς και την βριθουσαν, και την ανωφερῆ, ὁρῶμεν· ουχι τοῖς οφθαλμοῖς, αλλ' ουχ ἡττον εναργῶς.*

23. *Συνεχῶς επινοεῖν, πῶς παντα τοιαῦτα, ὁποῖα νῦν γινεται, και προσθεν εγινετο, και* [4]*(επ' αιωνιον)*[a] *γενησομενα. Και ὁλα δραματα, και σκηνας ὁμοειδεῖς, ὁσα εκ πειρας τῆς σῆς, η τῆς πρεσβυτερας ἱστοριας εγνως, προ ομματων τιθεσθαι· οἷον αυλην ὁλην Ἀδριανοῦ, και αυλην ὁλην Αντωνινου, και αυλην ὁλην Φιλιππου, Αλεξανδρου, Κροισου· παντα γαρ εκεῖνα τοιαῦτα ἦν, μονον δι' ἑτερων.*

24. *Φανταζου παντα τον εφ' ῳτινιοῦν λυπουμενον, η δυσαρεςοῦντα, ὁμοιον τῷ θυομενῳ χοιριδιῳ και απολακτιζοντι και κεκραγοτι· ὁμοιον και ὁ οιμωζων επι τοῦ κλινιδιου (δεομενος· ὁν ιδιωτης μεν ων, ὁ Μαριος, ὁμως ἑζομενος σιωπῃ, απενευσεν την ενδεσιν ες εντομην μελεων·)*[5]

---

[a] F. *οπισθεν*—vel juncta *οπ· επ' αιων.*

Vul. [1] *και*.—[2] *γενεσθαι*.—[3] *ὀντως ὁρᾷν*.—[4] *επινοεῖν*.—[5] *μονος σιωπῇ την ενδεσιν ἡμῶν.* Qui ejulat non silet. *μονος* irrepsit præ *μονω* sequenti: vereor, ne ita incidendo ac excidendo auctarem concidisse arguar. Scribam fateor, quippe quem cultro τηλεῖ purgandum damno. Ea vox *μονος*—*Μαριος*, ut scintilla residua, "cinerem ac sopitos suscitat ignés." Nota Marii ista virilis *αναλγησια*; sed elementa hæc, a me in seriem suam

και[a] ὁτι μονῳ τῳ λογικῳ ζωῳ δεδοται, το ἑκουσιως επεσθαι τοις γινομενοις· το δε επεσθαι ψιλον, πᾱσιν αναγκαιον.

25. Κατα μερος, εφ' ἑκαςον, ὡν ποιεις, εφιςανων, επερωτα σεαυτον, ει ὁ θανατος δεινον δια το τουτου ςερεσθαι.

26. Ὁταν προσκοπτης επι τινος ἁμαρτια, ευθυς μεταβας, επιλογιζου, τι παρομοιον ἁμαρτανεις· οἱον, αργυριον αγαθον ειναι κρινων, ἡδονην, δοξαριον, και κατ' ειδος. (Ὁυτω)[1] γαρ (επι αλλων,)[2] ταχεως επιλησῃ της οργης· συμπιπτοντος του, ὁτι (ὁ τις) βιαζεται· τι γαρ ποιησει; Η, ει δυνασαι, αφελε αυτου το βιαζομενον.

27. Σατυρωνα ιδων, Σωκρατικον φανταζου, η Ευτυχην, η Ὑμενα· και Ευφρατην ιδων, Ευτυχιωνα, η Σιλουανον φανταζου· και Αλκιφρονα, Τροπαιοφορον· και Ξενοφωντα ιδων, Κριτωνα η Σευηρον· και εις ἑαυτον απιδων, των Καισαρων τινα φανταζου· και εφ' ἑκαςον το αναλογον. Ειτα συμπροσπιπτετω σοι· που ουν εκεινοι; ουδαμου, η ὁπουδη. Οὑτω γαρ (συνεχων)[3] θεασῃ τα ανθρωπινα, καπνον, και το μηδεν· μαλιςα εαν συμμνημονευσῃς, ὁτι το ἁπαξ μεταβαλον ουκετι εςαι εν τῳ απειρῳ χρονῳ. (Μονος). Συ ουν (εν εκτενει;)[4] τι δ' ουκ αρκει σοι το βραχυ τουτο κοσμιως διαπερασαι; Οἱαν ὑλην και ὑποθεσιν φευγεις; τι γαρ εςι παντα ταυτα αλλο, πλην γυμνασματα λογου, ἑωρακοτος ακριβως και φυσιολογως τα εν τῳ βιῳ; (Διαμενε)[5] ουν, μεχρι εξοικειωσῃς σαυτῳ και ταυτα· ὡς ὁ ερρωμενος ςομαχος παντα εξοικειοι· ὡς το λαμπρον πυρ, ὁ τι αν (ανω) βαλῃς, φλογα εξ αυτου και αυγην ποιει.

28. Μηδενι εξεςω ειπειν αληθευοντι περι σου, ὁτι ουχ ἁπλους, η ὁτι ουκ αγαθος· αλλα ψευδεσθω, ὁςις τουτων τι περι σου ὑποληψεται· παν δε τουτο επι σοι. Τις γαρ

---

luculente reproducta, corripuit Scriba in nodum pravissimè obstinatum; sicut fur ille quem Romeo in Shaksp. sibi amatori assimilat—quippe præ ασχολια precipiti, ut Scriba hic verba, sic fur spolia, et amator "oscula, congessit properata sine ordine raptim." Luce clarior emendatio.

· Vulgata. [1] Τουτῳ.—[2] επιβαλλων.—[3] συνεχως.—[4] εν τινι.—[5] Μενε.

[a] cf. Epicteti 52. Αγου δε μ ὡ Ζευ.

ὁ κωλυσων αγαθον εἶναι σε και ἁπλοῦν; συ μονον κρῖνον[a] *μηκετι ζῆν, ει μη τοιοῦτος εσῃ. Ουδε γαρ*[b] *αἱρεῖ λογος μη τοιοῦτον οντα.*

29. *Τι εςι το επι ταυτης τῆς ὑλης δυναμενον κατα το υγιεςατον πραχθῆναι, η ῥηθῆναι; ὁ τι γαρ αν τοῦτο ῇ, εξεςιν αυτο πρᾶξαι, η ειπεῖν· και μη προφασιζου, ὡς κωλυομενος. Ου προτερον πανσῃ ςενων, πριν η τοῦτο μαθῃς, ὁτι, οἷον εςι τοῖς ἡδυπαθοῦσιν ἡ τρυφη, τοιοῦτο σοι το επι τῆς ὑποβαλλομενης και (αντι) πιπτουσης ὑλης ποιεῖν τα οικεῖα τῇ τοῦ ανθρωπου κατασκευῇ· απολαυσιν γαρ δεῖ ὑπολαμβανειν πᾶν, ὁ εξεςι κατα την ιδιαν φυσιν ενεργεῖν. Πανταχοῦ δε εξεςι. Τῷ μεν οὖν κυλινδρῳ ου πανταχοῦ διδοται φερεσθαι την ιδιαν κινησιν· ουδε τῷ ὑδατι, ουδε πυρι, ουδε τοῖς αλλοις, ὁσα ὑπο φυσεως, η ψυχῆς αλογου, διοικεῖται· τα γαρ διειργοντα και ενιςαμενα πολλα. Νοῦς δε και λογος δια παντος τοῦ αντιπιπτοντος οὑτω πορευεσθαι δυναται, ὡς (πεποιθε,)*[1] *και ὡς θελει. Ταυτην την ῥᾳςωνην προ ομματων τιθεμενος, καθ' ἡν ενεχθησεται ὁ λογος δια παντων· ὡς πῦρ ανω, ὥς λιθος κατώ, ὡς κυλινδρος κατα πρανοῦς· μηκετι μηδεν επιζητει. Τα γαρ λοιπα εγκομματα ητοι τοῦ σωματικοῦ εςι τοῦ (ου νοερου),*[2] *η χωρις ὑποληψεως, και τῆς αυτοῦ τοῦ λογου ενδοσεως, ου θραυει, ουδε ποιεῖ κακον ουδοτιοῦν· επει τοι και ὁ πασχων (αυτα) κακος αν ευθυς εγινετο. Επι γοῦν τῶν αλλων κατασκευασματων παντων, ὁ τι αν κακον τινι αυτῶν συμβῇ, παρα τοῦτο χεῖρον γινεται αυτο το πασχον· ενταῦθα δε, ει δεῖ ειπεῖν, και κρειττων γινεται ὁ ανθρωπος, και επαινετωτερος, ορθῶς χρωμενος τοῖς προσπιπτουσιν. Ὁλως δε μεμνησο, ὁτι (τα εν φυσει ὁια εν πολει)·*[3] *πολιτην ουδεν βλαπτει, ὁ πολιν ου βλαπτει· ουδε πολιν βλαπτει, ὁ νομον ου βλαπτει· τουτων δε τῶν καλουμενων*

Vulgata. [1] *πεφυκε.* sed id *αλογων.*—[2] *νεκροῦ.*—[3] *τον φυσει.* Ita saxosus scriba, prout Symplegades, comprimit ac collidit verba vitalia. Ego Evolvo. Nec objiciat quis mihi facetum illud Martini in "Tale of a tub." Is dogmata sua in S. S. inveniri affirmat. "Ubinam?" Passim. Si non seriatim, verbatim; si non verbatim, literatim." Alia in his Critıces ratio. Nihil ingero. Phrasin tantum, ut volumen, explico.

[a] Melius *προνοου.*—[b] fors. *αινεῖ*—sancit.

ακληρηματων ουδεν βλαπτει νομον. Ὁ τοινυν νομον ου βλαπτει, ουτε πολιν, ουτε πολιτην.

30. *Τῷ δεδηγμενῳ ὑπο τῶν (ηλιθιων)*[1] *δογματων αρκεῖ και το βραχυτατον, και εν μεσῳ κειμενον, εις ὑπομνησιν αλυπιας και αφοβιας. Οἷον·*

> *Φυλλα τα μεν τ' ανεμος χαμαδις χεει . . . .*
> *Ὡς ανδρῶν γενεη.*

Φυλλαρια δε και τα τεκνια σου· φυλλαρια δε και ταῦτα τα επιβοῶντα (εξιοντι επι ςοας)[2] *και επευφημοῦντα· η εκ τῶν (εσωτατων εναντιον)*[3] *καταρωμενα· η ἡσυχῇ ψεγοντα και χλευαζοντα· φυλλαρια δε ὁμοιως και τα διαδεξομενα την ὑςεροφημιαν. Παντα γαρ ταῦτα ε α ρ ο ς ε π ι γ ι ν ε τ α ι ὡ ρ ῃ· εἶτα ανεμος καταβεβληκεν· επειθ' ὑλη ἑτερα αντι τουτων φυει. Το δε ολιγοχρονιον κοινον πασιν· αλλα συ παντα, ὡς αιωνια εσομενα, φευγεις και διωκεις. Μικρον, και καταμυσεις· τον δε εξενεγκοντα σε ηδη αλλος θρηνησει.*

31. *Τον ὑγιαινοντα οφθαλμον παντα ὁρᾷν δεῖ τα ὁρατα· και μη λεγειν, Τ α χ λ ω ρ α θ ε λ ω· τοῦτο γαρ οφθαλμιῶντος εςι. Και την ὑγιαινουσαν ακοην, και οσφρησιν, εις παντα δεῖ τα ακουςα και οσφραντα ἑτοιμην εἶναι. Και τον ὑγιαινοντα ςομαχον προς παντα τα τροφιμα ὁμοιως εχειν· ὡς μυλην προς παντα, ὁσα αλησουσα κατεσκευαςαι. Και τοινυν την ὑγιαινουσαν διανοιαν προς παντα δεῖ τα συμβαινοντα ἑτοιμην εἶναι· ἡ δε λεγουσα, Τ α τ ε κ ν ι α σ ω ζ ε σ θ ω· και π α ν τ ε ς, ὁ τ ι α ν π ρ α ξ ω, ε π α ι ν ε ι τ ω σ α ν· οφθαλμος εςι, τα χλωρα ζητῶν· η οδοντες τα ἁπαλα.*

32. *Ουδεις εςιν οὑτως ευποτμος, ᾧ αποθνησκοντι ου παραςησονται τινες, ασπαζομενοι το συμβαῖνον (ουκ ακοντες).*[4] *Σπουδαῖος και σοφος ἦν· μη το πανυςατον εςαι τις, ὁ καθ' αὑτον λεγων· Αναπνευσω μεν ποτε απο τουτου παιδαγωγοῦ. Χαλεπος μεν ουδενι ἡμῶν ἦν, αλλα ῃσθανομην, ὁτι ἡσυχῇ καταγινωσκῃ ἡμῶν. Ταῦτα μεν οὖν επι τοῦ σπουδαιου. Εφ' ἡμῶν δε ποσα αλλα εςι, δι' ἁ πολυς ὁ απαλλακτιῶν ἡμῶν; τουτο οὖν (ει) εννοησεις*

Vulgata. [1] *αληθῶν.* — [2] *αξιοπιστως.* — [3] *εναντιων.* — [4] *κακον,* melius *αγαθον.* Stoicis mors neutiquam malum.

αποθνησκων, ευκολωτερον εξελευσῃ, λογιζομενος· εκ τοιουτου βιου απερχομαι, εν ᾧ αυτοι οἱ κοινωνοι, ὑπερ ὡν τοσαῦτα ηγωνισαμην, ηυξαμην, εφροντισα, αυτοι εκεῖνοι εθελουσι με ὑπαγειν· αλλην τινα τυχον εκ τουτου ῥαςωνην ελπιζοντες. Τι αν οὖν τις αντεχοιτο τῆς ενταῦθα μακροτερας διατριβῆς; Μη μεντοι δια τοῦτο ελαττον ευμενης αυτοῖς απιθι· αλλα το ιδιον εθος διασωζων· φιλος, και ευνους, και ἱλεως· και μη παλιν ὡς αποσπωμενος· αλλ', ὡσπερ επι τοῦ ευθανατοῦντος, ευκολως το ψυχαριον απο τοῦ σωματος εξειλεῖται, τοιαυτην και την απο τουτων αποχωρησιν δεῖ γενεσθαι· και γαρ τουτοις ἡ φυσις σε συνῆψε, και συνεκρινεν. Αλλα νῦν διαλυει; (ευ εχει') διαλυομαι· ὡς απο οικειων μεν· ου μην ανθελκομενος, αλλ' αβιαςως· ἑν γαρ και τοῦτο τῶν κατα φυσιν.

33. *Εθισον επι παντος, ὡς οἷον τε, τοῦ πρασσομενου ὑπο τινος, επιζητεῖν κατα σαυτον· Οὗτος τοῦτο επι τι αναφερει; Αρχου δε απο σαυτοῦ, και σαυτον πρῶτον εξεταζε. Μεμνησο, ὁτι το νευροσπαςοῦν εςιν εκεῖνο, το ενδον εγκεκρυμμενον· εκεῖνο ῥητορεια, εκεῖνο ζωη, εκεῖνο, ει δεῖ ειπεῖν, ανθρωπος. Μηδεποτε (συμπαρυφαντα)*[1] *φανταζου το περικειμενον αγγειῶδες, και τα οργανια ταῦτα τα περιπεπλασμενα. Ὁμοια γαρ εςι σκεπαρνῳ· μονον διαφεροντα, καθοτι προσφυῆ εςιν. Επει τοι ου μᾶλλον τι τουτων οφελος εςι τῶν μοριων, χωρις τῆς κινουσης και ισχουσης αυτα αιτιας, η τῆς κερκιδος τῇ ὑφαντριᾳ, και τοῦ καλαμου τῷ γραφοντι, και τοῦ μαςιγιου τῷ ἡνιοχῳ.*

ΒΙΒΛΙΟΝ ΙΑ.

1. *Τα ιδια τῆς λογικῆς ψυχῆς· ἑαυτην (ὁρμᾶ,)*[2] *ἑαυτην διαρθροῖ, ἑαυτην, ὁποιαν αν βουληται, ποιεῖ· τον καρπον,*

Vulgata.—[1] *συμπερι*—[2] *ὁρᾷ.* Quæ, quando, ubinam? Mea adhuc mihi "Virgo est invisa viro;" *ὁρμᾶ* præstat id quod Platoni ac Cic. proprium est ac principium animæ, se movere.

ὁν φερει, αυτη καρπουται — τους γαρ τῶν φυτῶν καρπους, και το αναλογον επι τῶν ζωων, αλλοι καρπουνται — τοῦ ιδιου τελους τυγχανει, ὁπου αν το τοῦ βιου περας επιςῇ. Ουχ, ὡσπερ επι ορχησεως και ὑποκρισεως, και τῶν τοιουτων, ατελης γινεται ἡ ὁλη πρᾶξις, εαν τι εγκοψῃ· αλλ' επι παντος μερους, και ὁπου αν καταληφθῇ, πλῆρες και απροσδεες ἑαυτῇ το προτεθεν ποιεῖ· ὡςε ειπεῖν, Εγω απεχω τα εμα. Ετι δε περιερχεται τον ὁλον κοσμον, και το περι αυτον κενον, και το σχῆμα αυτοῦ· και εις την απειριαν τοῦ αιῶνος εκτεινεται, και την περιοδικην παλιγγενεσιαν τῶν ὁλων εμπεριλαμβανει, και περινοεῖ· και θεωρεῖ, ὁτι ουδεν νεωτερον οψονται οἱ μεθ' ἡμᾶς, ουδε περιττοτερον εἶδον οἱ προ ἡμῶν· αλλα τροπον τινα ὁ τεσσαρακοντουτης, εαν νοῦν ὁποσονοῦν εχῃ, παντα τα γεγονοτα και τα εσομενα ἑωρακε κατα το ὁμοειδες. Ιδιον δε λογικης ψυχῆς, και το φιλεῖν τους πλησιον· και (ἡ) αληθεια, και αιδως, και το μηδεν ἑαυτῆς προτιμᾷν· ὁπερ ιδιον και νομον. Οὑτως αρ' ουδεν διηνεγκε λογος (ηθους,)[1] και λογος δικαιοσυνης.

2. Ωδῆς επιτερποῦς, και ορχησεως και παγκρατιου καταφρονησεις, εαν την μεν εμμελῆ φωνην καταμερισῃς εις ἑκαςον τῶν φθογγων, και καθ' ἑνα πυθῃ σεαυτοῦ, ει τουτου ἡττων εἶ· διατραπησῃ γαρ· επι δε ορχησεως το αναλογον καθ' ἑκαςην κινησιν, η σχεσιν· το δ' αυτο και επι τοῦ παγκρατιου. Ὁλως οὖν, (των) χωρις αρετῆς και τῶν (απροαιρετων)[2] μεμνησο επι τα κατα μερος (προσεχειν,)[3] και τῇ διαιρεσει αυτῶν εις καταφρονησιν ιεναι· το δ' αυτο και επι τον βιον ὁλον μεταφερε.

3. Οἱα εςιν ἡ ψυχη ἡ ἑτοιμος, εαν ηδη απολυθῆναι δεῃ τοῦ σωματος· και ητοι σβεσθῆναι, η σκεδασθῆναι, η συμμεῖναι. Το δε ἑτοιμον τοῦτο, ἱνα απο ιδικῆς[a] κρισεως ερχηται· μη κατα ψιλην παραταξιν, ὡς οἱ Χριςιανοι· αλλα λελογισμενως, και σεμνῶς, και ὡςε και αλλον πεῖσαι, ατραγῳδως.

Vulgata. [1] ορθος. Philosophis ηθους probaverim, vix Criticis, qui plerumque, ut Pharisæi, propugnant nugis, graviora ηθους aversantur.—[2] απ' αρετῆς.—[3] τρεχειν. Triviale, et levis ingenii, nihil philosophicè ponderantis.

[a] Mal. νοητικης.

4. *Πεποιηκα τι κοινωικῶς; ουκοῦν ωφεληµαι· τοῦτο ἱνα αει προχειρον απαντᾷ· (αρκει· κ'ει µη δ' αλλου απολαυου).*[1]

5. *Τις σου ἡ τεχνη; αγαθον εἶναι. Τοῦτο δε πῶς (;) (ουκ αλλως)*[2] *γινεται η εκ θεωρηµατων· τῶν µεν, περι τῆς τοῦ ὁλου φυσεως, τῶν δε, περι τῆς ιδιας τοῦ ανθρωπου κατασκευῆς.*

6. *Πρῶτον αἱ τραγῳδιαι παρηχθησαν ὑποµηνςικαι τῶν συµβαινοντων· και ὁτι ταῦτα οὑτω πεφυκε γινεσθαι· και ὁτι, οἷς επι τῆς σκηνῆς ψυχαγωγεῖσθε, τουτοις µη αχθησθε επι τῆς µειζονος σκηνῆς. Ὁρᾶτε γαρ, ὁτι οὑτω δεῖ ταῦτα περαινεσθαι· και ὁτι φερουσιν αυτα και οἱ κεκραγοτες· Ιω Κιθαιρων. Και λεγεται δη τινα ὑπο τῶν τα δραµατα ποιουντων χρησιµως· οἷον εςιν εκεῖνο*

> *(εµοι µεληϲεται,)*[3]
> *Ει δ' ηµεληθην εκ θεῶν και παῖδ' εµω,*
> *Εχει λογον και τοῦτο·*

και παλιν,

> *Τοῖς πραγµασιν γαρ ουχι θυµοῦσθαι χρεων.*

και,

> *Βιον θεριζειν ὡστε καρπιµον σταχυν·*

και ὁσα τοιαῦτα. Μετα δε την τραγῳδιαν ἡ αρχαια κωµῳδια παρηχθη, (πληθαγωγικην)[4] *παῤῥησιαν εχουσα, και τῆς ατυφιας ουκ αχρηςως δι' αυτῆς τῆς ευθυῤῥηµοσυνης ὑποµιµνησκουσα· προς οἷον τι και Διογενης (ενια) (κυνιςι)*[5] *παρελαµβανε. Μετα ταῦτα (τι ςοχαση)*[6] *ἡ µεση κωµῳδια· και λοιπον ἡ νεα προς τι ποτε παρειληπται, ἡ κατ' ολιγον επι την εκ µιµησεως φιλοτεχνιαν ὑπεῤῥυη, επιςησον. Ὁτι µεν γαρ λεγεται και ὑπο τουτων τινα*

Vulgata. [1] *και µηδαµοῦ παυου.* Ista uti et illa subter, *πως καλως*, rudia, deformia, *βορβοροβαρβαρικα*, cæmentarii potius quam *τεκτονος σοφου λογων*· quæ substituo, commoda, concinna, proba, Stoicè concisa.—[2] *καλῶς.*—[3] *µαλιστα.* Forsan *µελιςι.*—[4] *παιδαγωγικην.* Sed *παῤῥησια* pueris nefanda est. Maxima debetur p. reverentia, nil dictu fœdum etc. Ita Satiricus; nec citra Stoicus.—[5] *ταυτι.*—[6] *τις.* Quid sit constat, quæritur quid intendat. Fors. *σηµαινη.*

[a] Fors. *ψυχαγ*, ut supra.

χρησιμα, ουκ αγνοεῖται· αλλα ἡ ὁλη επιβολη τῆς τοιαυτης ποιησεως και δραματουργιας προς τινα ποτε σκοπον απεβλεψε;

7. Πῶς εναργες προσπιπτει το μη εἶναι αλλην Βιου[a] ὑποθεσιν εις το φιλοσοφεῖν οὑτως επιτηδειον, ὡς ταυτην, εν ᾗ νῦν ων τυγχανεις;

8. Κλαδος, τοῦ προσεχοῦς κλαδον αποκοπεις, ου δυναται μη και τοῦ ὁλου φυτοῦ αποκεκοφθαι. Οὑτω δη και ανθρωπος, (προσεχους)[1] ανθρωπου αποσχισθεις, ὁλης τῆς κοινωνιας αποπεπτωκε. Κλαδον μεν οὖν αλλος αποκοπτει· ανθρωπος δε αυτος ἑαυτον τοῦ πλησιον χωριζει, μισησας και αποςραφεις· αγνοεῖ (δη), ὁτι και τοῦ ὁλου πολιτευματος ἁμα αποτετμηκεν ἑαυτον. Πλην εκεῖνο γε δῶρον τοῦ συςησαμενου την κοινωνιαν Διος· εξεςι γαρ παλιν ἡμῖν συμφῦναι τῷ προσεχεῖ, και παλιν τοῦ ὁλου συμπληρωτικοῖς γενεσθαι. Πλεονακις μεντοι γινομενον (τουτο)[2] κατα την (αυτην)[3] διαιρεσιν δυσενωτον και δυσ-[4](ανα)καταςατον (κ'ου)[5] προχωροῦν ποιεῖ. Ὁλως τε ουχ ὁμοιος ὁ κλαδος, ὁ απ' αρχῆς συμβλαςησας, και συμπνους[b] συμμεινας, τῷ μετα την αποκοπην αὖθις εγκεντρισθεντι· ὁ τι ποτε λεγουσιν οἱ φυτουργοι· (Ὁμοθυμειν)[6] μεν, μη ὁμοδογματεῖν δε.

9. Οἱ ενιςαμενοι προϊοντι σοι κατα τον ορθον λογον, ὡσπερ απο τῆς ὑγιοῦς πραξεως αποτρεψαι σε ου δυνησονται, οὑτω μηδε τῆς προς (ἀυτους) ευμενειας εκκρουετωσαν· αλλα φυλασσε σεαυτον επ' αμφοτερων ὁμοιως· μη μονον επι τῆς ενςαθοῦς κρισεως και πραξεως, αλλα και επι τῆς προς τους κωλυειν επιχειροῦντας, η αλλως δυσχεραινοντας, πρᾳοτητος. Και γαρ τοῦτο ασθενες, το χαλεπαινειν αυτοῖς· ὡσπερ το αποςῆναι τῆς πραξεως, και ενδοῦναι καταπλαγεντα· αμφοτεροι γαρ επισης λειπο-

---

Vulgata. [1] ἑνος.—[2] το.—[3] τοιαυτην.—[4] απο.—[5] το.—[6] Ὁμοθαμνεῖν. Concordes animi discordibus in doctrinis. Amor Erga Hereticos: sed vox hæc gratiam unice spirans, perinde ac Eucharistia, per multa secula distraxit criticos contendentes. demum ὁμοθυμειν datur.

[a] Malim ὑποςασιν=substantiam, quam mens, ad ὑποθεσιν suam, suscipit formandam. — [b] Melius συμφυτος, Siquidem Plantarum respiratio veteribus incognita.

τακται· ὁ μεν ὑποτρεσας· ὁ δε αλλοτριωθεις προς τον φυσει συγγενῆ και φιλον.

10. *Ουκ (αςυ)*[1] *χειρων (ουδ' ανεν)*[2] *φυσις τεχνης· και γαρ αἱ τεχναι τας φυσεις μιμοῦνται. Ει δε τοῦτο, ἡ πασῶν τῶν αλλων τελεωτατη και περιληπτικωτατη φυσις, ουκ αν απολειποιτο τῆς τεχνικῆς ευμηχανιας. Πᾶσαι (δ' ει) γε τεχναι τῶν κρειττονων ἑνεκεν τα χειρω ποιοῦσιν· ουκοῦν και ἡ κοινη φυσις. Και δη ενθεν μεν γενεσις δικαιοσυνης—απο δε ταυτης αἱ λοιπαι αρεται ὑφιςανται—ου γαρ τηρηθήσεται το δικαιον, εαν ητοι διαφερωμεθα προς τα μεσα, η ευεξαπατητοι και προπτωτικοι και μεταπτωτικοι ὦμεν.*

11. *Ει ουκ ερχεται επι σε τα πραγματα, ὧν αἱ διωξεις και φυγαι θορυβοῦσι σε, αλλα τροπον τινα αυτος επ' εκεῖνα ερχῃ· (τοιγαρουν το)*[3] *κριμα το περι αυτῶν ἡσυχαζετω, κακεῖνα μενεῖ ατρεμοῦντα· και ουτε διωκων ουτε φευγων (ταραχθησῃ.)*[4]

12. *Σφαῖρα ψυχη (αςροειδης)*[5] *ὁταν μητε εκτεινηται επι τι, μητε εσω συντρεχῃ, μητε συνιζανῃ· αλλα φωτι λαμπηται, ᾧ την αληθειαν ὁρᾷ την παντων, και την εν αὑτῇ.*

13. *Καταφρονησει μου τις; οψεται. Εγω δε οψομαι, ἱνα μη τι καταφρονησεως αξιον πρασσων η λεγων εὑρισκωμαι. Μισησει; οψεται. Αλλα εγω ευμενης και ευνους παντι, και τουτῳ αυτῷ ἑτοιμος το παρορωμενον δεῖξαι· ουκ ονειδιςικῶς, ουδε ὡς κατεπιδεικνυμενος, ὁτι ανεχομαι, αλλα γνησιως και χρηςῶς· οἱος ὁ Φωκιων εκεῖνος· ει γε μη προσεποιεῖτο. Τα εσω γαρ δει (αταρακτα)*[6] *εἶναι, και (ὁια) ὑπο τῶν θεῶν βλεπεσθαι ανθρωπον προς μηδεν αγανακτικῶς διατιθεμενον, μηδε δεινοπαθοῦντα. Τι γαρ σοι κακον, ει αυτος νῦν ποιεῖς το τῇ φυσει σου οικεῖον, και δεχῃ το νῦν τῇ τῶν ὁλων φυσει ευκαιρον, (θριος ὁπως τεταμενος)*[7] *προς το γινεσθαι δι' ὁτου δη (το τη) κοινῇ (νηι) συμφερον;*

Vulgata. [1] *εστι* — [2] *ουδεμια* — [3] *το γοῦν.* — [4] *οφθησῃ.* — [5] *αυτοειδης.* Stella tam conspicua, quânam hebetudine obscurata, spectatorem suum per tot secula, ut dixit Kepler, expectaverit? — [6] *τοιαῦτα.* — [7] *ανθρωπος τεταγμενος.* Scriba pro pos. 2, Notum *ανθρ*, ignoto *θριος* substituit, respiciens

14. *Αλληλων καταφρονοῦντες, αλληλοις αρεσκευονται· και αλληλων ὑπερεχειν θελοντες, αλληλοις ὑποκατακλινονται.*

15. *'Ως σαπρος και κιβδηλος ὁ λεγων· Εγω προηρημαι ἁπλῶς σοι προσφερεσθαι; Τι (ου) ποιεῖς, ανθρωπε; τοῦτο ου δεῖ προλεγειν. Αυτοῦ φανησεται· επι τοῦ μετωπου γεγραφθαι οφειλει· Ευθυς ἡ φωνη (το ιδιον ηχει)[1]· ευθυς εν τοῖς ομμασιν εξεχει· ὡς τῶν εραςῶν εν τῷ βλεμματι παντα ευθυς γνωριζει ὁ ερωμενος. Τοιοῦτον ὁλως δεῖ τον ἁπλοῦν και αγαθον εἶναι, οἷον (πρασιαν·)[2] ἱνα ὁ παραςας, ἁμα τῷ προσελθεῖν, θελει ου θελει, αισθηται. Επιτηδευσις δε ἁπλοτητος σκαλμη[a] (πιςεως.)[3] Ουδεν (εν εθεσιν)[8] αισχιον λυκοφιλιας. Παντων μαλιςα τοῦτο φεῦγε. 'Ο αγαθος, και ἁπλοῦς, και ευμενης, (εντος·) εν τοῖς ομμασιν (αν)εχουσι ταῦτα, και ου λανθανει.*

16. *Καλλιςα διαζῆν, δυναμις (εν αὐτῃ,) τῇ ψυχῇ, εαν προς τα αδιαφορα αδιαφορῇ. Αδιαφορησει δε, εαν ἑκαςον αυτῶν θεωρῇ διῃρημενως, και ὁλικῶς, μεμνημενος, ὁτι ουδεν αυτῶν ὑποληψιν περι αυτοῦ ἡμῖν εμποιεῖ, ουδε ερχεται εφ' ἡμᾶς· αλλα τα μεν ατρεμεῖ· ἡμεῖς δε εσμεν, οἱ τας περι αυτῶν κρισεις γεννῶντες, και οἷον γραφοντες εν ἑαυτοῖς· εξον μεν μη γραφειν, εξον δε, καν που (γραφῇ,)[4] ευθυς εξαλεῖψαι. 'Οτι ολιγου χρονου εςαι ἡ τοιαυτη προσοχη, και λοιπον πεπαυσεται ὁ βιος. Τι μεντοι δυσκολον (καθως εχει ςεργειν παντα;)[5] Ει μεν γαρ κατα φυσιν εςι, χαῖρε αυτοῖς, και (αταραξια)[6] εςω σοι· ει δε παρα φυσιν, ζητει, τι (ενιςησι) σοι και[7] ποθεν*

---

[a] Malim *σκυλμος* = vexatio. Cicero ad Att.—[8] *εστιν.* quoque finale *ον* quod ante *θριος*. Utcunque, per me hæc proposita sint; per se, quæ meliora, se commendent. Utraque vides; nova ista, proba, si quid in Crit. sapio, certe probabilia; vetera contra illa, ad ebrii ac deliri senis instar, stupidè, incomposite, turpiter, vacillantia.

Vulgata. [1] *τοιοῦτο νεχει.*—[2] *γρασωνα.*—[3] *εστιν.*—[4] *λαθῇ.*—[5] *καλως εχει ταῦτα.* Critici nodum hunc, dum torquent intendunt. Valeant ubi non valent—tenes enodatum.—[6] *ρᾳδια.*—[7] Hæc omnia *πρωροπρυμνα*, sus deque, ut Deucalionis lapides præposterè disjecta, animam ab ordinante *νοω* opperiuntur. Hoc egi, ut seriem, non verba, mutando, per trans-

εληλυθεν (ἑκςατον), και εκ τινων (εσκευαςο)[1] υποκειμενων, και εις τι μεταβαλλει, και ὁιον εςαι μεταβαλον· και ὡς ουδεν κακον (το κυριον) πεισεται[2] σοι το ιδιον αγαθον ζητουντι κατα την σην φυσιν. Και επι τουτο σπευδε, κἂν ἀδοξον ἡ· (Παραδοξαντι) γαρ συγγνωμη· και (ερωτᾶ) πρωτον, τις ἡ προς (αιτιους) μοι σχεσις· και ὁτι αλληλων ἑνεκεν γεγοναμεν· και (κατα θειοτερον)[3] λογον, προστησομενος αυτῶν γεγονα, ὡς κριος ποιμνης, η ταῦρος αγελης. Αιωθεν δε επιθι· απο τοῦ (ολου·) Ει μη ατομοι, φυσις ἡ τα ὁλα διοικοῦσα· ει τοῦτο, τα χειρονα τῶν κρειττονων ἑνεκεν· ταῦτα δε αλληλων. Δευτερον δε, ὁποῖοι τινες εισιν επι τῆς τραπεζης, εν τῷ κλιναριῳ, ταλλα· μαλιςα δε, οἱας αναγκας[a] δογματων (κρεμαμενας)[4] εχουσιν· (κατ')[5] αυτα δε (παντα)[c] μεθ' οἱον τυφον ποιοῦσι. Τριτον, ὁτι, ει μεν ορθῶς ταῦτα ποιοῦσιν, ου δεῖ δυσχεραινειν· ει δ' ουκ ορθῶς, δηλονοτι ακοντες και αγνοοῦντες. Πᾶσα γαρ ψυχη ακουσα στερεται, ὡσπερ τοῦ αληθοῦς, οὑτω και τοῦ κατ' αξιαν ἑκαςῳ προσφερεσθαι. Αχθονται γοῦν ακουοντες αδικοι, και αγνωμονες, και πλεονεκται, και καθαπαξ ἁμαρτητικοι περι τους πλησιον. Τεταρτον, ὁτι και αυτος πολλα ἁμαρτανεις, και αλλος τοιοῦτος εἶ· και ει τινων (δη) ἁμαρτηματων απεχῃ, αλλα την γε ἑξιν ποιητικην εχεις· ει και δια δειλιαν, η δοξοκοπιαν, η τοιοῦτο τι κακον, απεχῃ τῶν ὁμοιων.[b] Πεμπτον, ὁτι ουδε, ει ἁμαρτανουσι, κατειληφας· πολλα γαρ και κατ' οικονομιαν[c] γινεται. Και ὁλως πολλα δεῖ προτερον μαθεῖν, ἱνα τις περι αλλοτριας πραξεως (καταληκτικῶς) τι αποφηνηται. Ἑκτον, ὁτι, ὁταν λιαν αγανακτῇς, η (κακα) δυσπαθῇς,[7] ακαριαῖος ὁ ανθρω-

---

posita sententiæ satisfacerem. Id si bene, gratulare; nec enim ista prout in Juvenali, mollia saxa. Sin male, exhibe, amabo te rectius, quod tibi ac veritati gratuler.

Vulgata. [1] ἑκαςον. c. αδοξον. Hoc imperator eis ἑαυτον. Gloriæ enim præstigio fascinantur principes. Itaque Napoleon "Ce qu'on exploite le plus surement dans les rois c'est leur amour propre."—[2] Forsan ποιησει σοι, omisso το κυριον. [3] καθ' ἑτερον.—[4] κειμενας.—[5] και.—[6] ταῦτα.—[7] και.—[8] εκαστον.

[a] Forsan ὁ. οιησεις αν' αγκας δογματων κειμενας=opiniones prejudiciis nutritas.—[b] Addit ἁμαρτηματων—quod pro glossemate, ut alia centies alibi, rejicio. Etenim ut tertia ad currum rota, impedit sententiam.—[c] οικονομια=dispensatio.

πειος βιος, και μετ' ολιγον παντες εξεταθημεν. Ἑβδομον, ὁτι ουχ αἱ πραξεις αυτῶν ενοχλοῦσιν ἡμῖν· εκεῖναι γαρ (ει τισιν),[1] τοῖς εκεινων ἡγεμονικοῖς· αλλα αἱ ἡμετεραι ὑποληψεις. Ἆρον γοῦν, και θελησον αφεῖναι την ὡς περι δεινοῦ κρισιν, και απῆλθεν ἡ οργη. Πῶς οὖν αρῃς; Λογισαμενος, ὁτι ουκ αισχρον· εαν γαρ μη μονον ᾖ το αισχρον κακον, (αγαθον αν ην,)[2] και σε πολλα ἁμαρτανειν· και λῃςην και παντοῖον γενεσθαι. Ογδοον, ὁσῳ χαλεπωτερα επιφερουσιν αἱ οργαι και λυπαι, αἱ επι τοῖς (ταρακτικοις,)[3] ηπερ αυτα εςιν, εφ' οἷς οργιζομεθα και λυπουμεθα. Εννατον, ὁτι το ευμενες ανικητον· εαν γνησιον ᾖ· και μη σεσηρος, μηδε ὑποκρισις. Τι γαρ σοι ποιησει ὁ ὑβριςικωτατος, εαν διατελῇς (συ) ευμενης αυτῷ(ων)· και, ει οὑτως ετυχε, πρᾳως παραινῇς και μεταδιδασκῃς ευσχολῶν, παρ' αυτον εκεῖνον τον καιρον, ὁτε κακα ποιεῖν σε επιχειρεῖ; Μη, τεκνον· προς αλλο πεφυκαμεν. Εγω μεν ου μη βλαβῶ, συ δε βλαπτῃ, τεκνον. Και δεικνυναι εναφῶς και (καθολικως)[4] οτι τοῦτο οὑτως εχει· ὁτι ουδε μελισσαι αυτο ποιοῦσιν, ουδ' ὁσα συναγελαςικα πεφυκε. Δεῖ δε μητε ειρωνικῶς αυτο ποιειν, μητε ονειδιςικῶς· αλλα φιλοςοργως και αδηκτως (εκ της δη ψυχης·)[5] και μη ὡς εν σχολῇ,[a] μηδε ἱνα αλλος παραςας θαυμασῃ· αλλ' ητοι προς μονον· και (εᾶν,)[6] αλλοι (ει) τινες περιεςηκωσι. Τουτων τῶν εννεα κεφαλαιων μεμνησο, ὡς παρα τῶν Μουσῶν δῶρα ειληφως· και αρξαι ποτε ανθρωπος εἶναι, (και ποιειν εκεινα, ες ἁ)[7] ζῇς. Φυλακτεον δε επισης τῷ οργιζεσθαι αυτοῖς, το κολακεῦειν αυτους· αμφοτερα γαρ ακοινωνητα, και προς βλαβην φερει. Προχειρον δε εν ταῖς οργαῖς, ὁτι ουχι το θυμοῦσθαι ανδρικον· αλλα το πρᾷον και ἡμερον, ὡσπερ ανθρωπικωτερον, οὑτω και αῤῥενικωτερον· (επει)[8] ισχυος και νευρων και ανδρειας

Vulgata. [1] εισιν εν. Pro plane falso commodum ac probum. — [2] αναγκη. — [3] τοιουτοις. Heus tu, Scriba, quousque τοιουτος? planè, per eam cramben repetitam, fis et rescriberls, ut suprà ταρακτικος. sed stulti est sævire in stultitiam. Stoicè ferendus es; Constas enim αναγκαιως stoliditati tuæ. —[4] ὁλικῶς.—[5] τῇ ψυχῇ. Fors. ἡσυχῇ.—[6] εαν.—[7] ἑως. Ita stolide scriba quæ corripuit, corripit.—[8] και.

[a] Melius ςολῃ·

(τω ενδιω)[2] μετεςιν· ουχι τῷ αγανακτοῦντι και δυσαρεςοῦντι. Ὁσῳ γαρ απαθειᾳ (το αταρακτον)[3] οικειοτερον, τοσουτῳ και δυναμει· Ὡσπερ τε ἡ λυπη ασθενοῦς, οὑτω και ἡ οργη. Αμφοτεροι γαρ (τετρ(ω)νται,)[4] και ενδεδωκασιν. Ει δε βουλει, και δεκατον παρα τοῦ Μουσηγετου δῶρον λαβε· ὁτι το (αξιοῦν μη) ἁμαρτανειν τους φαυλους, μανικον· αδυνατον γαρ εφιεται. Το δε συγχωρεῖν (εις αλλους)[5] μεν εἶναι τοιουτους, αξιοῦν δε, μη εις σε ἁμαρτανειν, αγνωμον και τυραννικον.

17. Τεσσαρας μαλιςα τροπας τοῦ ηγεμονικοῦ παραφυλακτεον διηνεκῶς· και επειδαν φωρασῃς, [6]α(ν)αληπτεον· επιλεγοντα εφ' ἑκαςον οὑτως· Τοῦτο το φαντασμα ουκ αναγκαιον·[a] τοῦτο λυτικον κοινωνιας· τοῦτο ουκ απο σαυτοῦ μελλεις λεγειν· το γαρ μη αφ' ἑαυτοῦ λεγειν εν τοῖς ατοπωτατοις νομιζε. Τεταρτον δε εςι, καθ' ὁ σεαυτῷ ονειδιεῖς, ὁτι τοῦτο ἡττωμενον εςι και ὑποκατακλινομενον τοῦ εν σοι θειοτερου μερους τῇ ατιμωτερᾳ και θνητῇ μοιρᾳ· τῇ τοῦ σωματος· και ταῖς τουτου παχειαις ἡδοναῖς.

18. Το μεν πνευματιον σου, και το πυρῶδες πᾶν, ὁσον εγκεκραται, καιτοι φυσει ανωφερῆ οντα, ὁμως πειθομενα τῇ τῶν ὁλων διαταξει, παρακρατεῖται ενταῦθα επι τοῦ συγκριματος. Και το γεῶδες δε το εν σοι πᾶν, και το ὑγρον, καιτοι κατωφερῆ οντα, ὁμως εγηγερται, και ἑςηκε την ουχ ἑαυτῶν φυσικην ςασιν. Οὑτως αρα και τα ςοιχεῖα ὑπακουει τοῖς ὁλοις· επειδαν που καταταχθῇ, συν βιᾳ μενοντα, μεχρις αν εκεῖθεν παλιν το ενδοσιμον τῆς διαλυσεως σημηνῃ. Ου δεινον οὖν, μονον το νοερον σου μερος απειθες εἶναι, και αγανακτεῖν τῇ ἑαυτοῦ χωρᾳ; καιτοι ουδεν γε βιαιον τουτῳ επιτασσεται, αλλ' μονα ἁ κατα φυσιν εςιν αυτῷ· ου μεντοι ανεχεται· αλλα την εναντιαν φερεται. Ἡ γαρ επι τα αδικηματα, και τα ακολαςηματα, και τας λυπας, και τους φοβους κινησις, ουδεν αλλο εςιν, η αφιςαμενου τῆς φυσεως. Και ὁταν

Vulgata. [2] τουτῳ.—[3] τουτο.—[4] τετρηνται—sed id postulat εκδεδ nempe hic, ut in nauticis, ac sæpe in politicis, contraria per circulum eodem tendunt.—[5] αλλοις.—[6] απαλ—quod non quadrat sed αν—corripiendum—ut equum freno.

[a] Forsan αν εικαιον;

(δη) τινι τῶν συμβαινοντων δυσχεραινῃ το ἡγεμονικον, καταλειπει (ἑκαςοτε)[1] την ἑαυτοῦ χωραν. Προς ισοτητα γαρ και θεοσεβειαν κατεσκευαςαι, ουκ ἧττον, η προς δικαιοσυνην. Και γαρ ταῦτα εν ειδει εςι τῆς ευκοινωνησιας· μᾶλλον δε πρεσβυτερα τῶν δικαιοπραγηματων.

19. Ὡι μη εἷς και ὁ αυτος εςιν αει τοῦ βιου σκοπος, οὗτος εἷς και ὁ αυτος δι' ὁλου τοῦ βιου εἶναι ου δυναται. Ουκ αρκεῖ (δ' ετι τουτο)[2] ειρημενον, εαν μη κακεῖνο προσθῇς, ὁποῖον εἶναι δεῖ τοῦτον τον σκοπον. Ὥσπερ γαρ ουχ ἡ παντων τῶν ὁπωσοῦν τοῖς πλειοσι δοκουντων αγαθῶν ὑποληψις ὁμοια εςιν, αλλ' ἡ τῶν (λογικων και πολιτικων)[3] τουτεςι τῶν κοινῶν· οὑτω και τον σκοπον δεῖ τον κοινωνικον και πολιτικον ὑποςησασθαι. Ὁ γαρ εις τοῦτον πασας τας ιδιας ὁρμας απευθυνων, πασας τας πραξεις ὁμοιας αποδωσει· και κατα τοῦτο αειὁ αυτος εςαι.

20. Τον μῦν τον ορεινον, και τον κατοικιδιον, και την πτοιαν τουτου και διασοβησιν.

21. Σωκρατης (κατα)[4] τα τῶν πολλῶν δογματα Λαμιας εκαλει, παιδιων δειματα.

22. (Οι) Λακεδαιμονιοι τοῖς μεν ξενοις εν ταῖς θεωριαις ὑπο τῇ σκιᾷ τα βαθρα ετιθεσαν· αυτοι δε, οὗ ετυχεν, εκαθεζοντο.

23. Τῷ Περδικκᾳ ὁ Σωκρατης, περι τοῦ μη ερχεσθαι παρ' αυτον· Ἱνα, εφη, μη τῷ κακιςῳ ολεθρῳ απολωμαι· τουτεςι, μη εὖ παθων ου δυνηθῶ αντευποιῆσαι.

24. Εν τοῖς τῶν Εφεσιων γραμμασι παραγγελμα εκειτο, συνεχῶς ὑπομιμνησκεσθαι τῶν παλαιῶν τινος τῶν αρετῇ χρησαμενων.

25. (ὡς) Οἱ Πυθαγορειοι, ἑωθεν εις τον ουρανον αφορᾶν, ἱν' ὑπομιμνησκωμεθα τῶν αει (ανα τα αιτια)[5] και ὡσαυτως το ἑαυτῶν εργον διανυοντων· και τῆς καθαροτητος, και τῆς γυμνοτητος. Ουδεν γαρ προκαλυμμα αςρον.

Vulgata. [1] και τοτε. —[2] δε το. —[3] τοιῶνδε τινων.—[4] και— etiam vulgi opin—absurdè. Quin si dixisset etiam Philosophorum, id profecto convenire potuit—forsan σκωπτων—ς. και τα των.—[4] και—[5] τα αυτα.

26. Οἷος ὁ Σωκρατης, το κωδιον ὑπεζωσμενος, ὁτε ἡ Ξανθιππη λαβοῦσα το ἱματιον εξω προῆλθε· και ἁ εἶπε τοῖς ἑταιροις αιδεσθεῖσι και αναχωρησασιν, ὁτε εἶδον οὑτως εςαλμενον.

27. Εν τῷ γραφειν και αναγινωσκειν ου προτερον αρξεις, πριν αρχθῇς. Τοῦτο πολλῷ μᾶλλον εν τῷ βιῳ.

28. Δοῦλος πεφυκας, ου μενεςι σοι λογου.

29. Εμον δ' εγελασσε φιλον κῆρ.

30. Μεμψονται δ' αρετην χαλεποῖς βαζοντες επεσσιν.

31. Σῦκον χειμῶνος ζητεῖν, μαινομενου· τοιοῦτος ὁ παιδιον ζητῶν, ὁτε ουκ ετι διδοται. Καταφιλοῦντα το παιδιον (δεῖ), ελεγεν ὁ Επικτητος, ενδον επιφθεγγεσθαι Αυριον ισως αποθανῇ—Δυσφημα ταῦτα.—Ουδεν δυσφημον, εφη, φυσικοῦ τινος εργου σημαντικον· η και το τους ςαχυας θερισθῆναι δυσφημον. Ομφαξ, ςαφυλη, ςαφις, παντα μεταβολαι, ουκ εις το μη ον, αλλ' εις το (νεουμενον).[1]

32. Ληςης προαιρεσεως ου γινεται· το του Επικτητου. (Ουτε [a]τεχνης· εκ της δε χρη προ του)[2] συγκατατιθεσθαι (θεωρειν ·)[3] και εν τῷ περι τας ὁρμας (τονῳ)[4] το προσεκτικον φυλασσειν· ἱνα μεθ' ὑπεξαιρεσεως, ἱνα κοινωνικαι, ἱνα κατ' αξιαν· και ορεξεως μεν πανταπασιν απεχεσθαι· εκκλισει δε προς μηδεν τῶν ουκ εφ' ἡμῖν χρῆσθαι. Ου περι τοῦ τυχοντος οὖν, εφη, εςιν ὁ αγων, αλλα περι τοῦ μαινεσθαι, η μη.

33. Ο Σωκρατης ελεγε. Τι θελετε; λογικῶν ψυχας εχειν, η αλογων; Λογικῶν. Τινων λογικῶν; ὑγιῶν, η φαυλων; Ὑγιῶν. Τι οὖν ου ζητεῖτε; Ὁτι εχομεν. Τι οὖν μαχεσθε και διαφερεσθε;

Vulgata.—[1] νῦν μη ον.—[2] Τεχνην δε εφη περι το. Critici Super ista, novi Ixiones, nubes suas complectuntur, inde monstra gignunt. Rotis propriis alligantur, punctis torquertur; ita pœnas luunt. Vanitas ac vexatio mera; tortoris irrita expressio; quæ subrogo, Genii Stoici emanatio—[a] ut alibi χρη εμφιλοτεχνειν.—[3] ευρεῖν.—[4] τοπῳ.

ΒΙΒΛΙΟΝ ΙΒ.

1. *Παντα εκεῖνα, εφ' ἁ δια περιοδον ευχῃ ελθεῖν, ηδη εχειν δυνασαι, εαν μη σεαυτῷ φθονῇς. (Τουτω δ' ενεςιν,)*[1] *εαν πᾶν το παρελθον καταλιπῃς, και το μελλον επιτρεψῃς τῇ προνοιᾳ, και το παρον μονον απευθυνῃς προς ὁσιοτητα και δικαιοσυνην. Ὁσιοτητα μεν, ἱνα φιλῇς το απονεμομενον· σοι γαρ αυτο ἡ φυσις εφερε, και σε τουτῳ. Δικαιοσυνην δε, ἱνα ελευθερως και χωρὶς περιπλοκῆς λεγῃς ταληθῆ, και πρασσῇς τα κατα νομον, και κατ' αξιαν· μηδ' εμποδιζῃ σε μητε κακια αλλοτρια, μητε ὑποληψις, μητε (φημη,)*[2] *μηδε μην αισθησις τοῦ περιτεθραμμενον σοι σαρκιδιου· οψεται γαρ το πασχον. Εαν οὖν, ὁτεδηποτε προς εξοδῳ γενῃ, παντα τα αλλα καταλιπων, μονον το ἡγεμονικον σου και το εν σοι θεῖον τιμησῃς· και μη το παυσεσθαι ποτε τοῦ ζῇν φοβηθῇς, αλλα το μηδεποτε αρξασθαι κατα φυσιν ζῇν· εσῃ ανθρωπος αξιος τοῦ γεννησαντος κοσμου· και παυσῃ ξενος ων τῆς πατριδος, και θαυμαζων ὡς απροσδοκητα τα καθ' ἡμεραν γινομενα, και κρεμαμενος (εκ τουδ' εικαιου οτου δη).*[3]

